| Ch | Johannes Chrysostomos, vgl. Rahlfs, *Psalmi cum odis*, S. 19 |
| Clem.Alex. | Clemens von Alexandria, vgl. Rahlfs, *Psalmi cum odis*, S. 19 |
| Cyp | Cyprian, vgl. Rahlfs, *Psalmi cum odis*, S. 19 |
| He | Hesych von Jerusalem, *Psalter-Kommentar*, vgl. Rahlfs, *Psalmi cum odis*, S. 20 |
| Hi | Hieronymus, vgl. Rahlfs, *Psalmi cum odis*, S. 20 |
| Su | Hieronymus, Brief an Sunnia und Fretela, in Hieronymus, *Epistularum pars II: Epistulae lxxi–cxx*, S. 247–289; vgl. Rahlfs, *Psalmi cum odis*, S. 20 |
| Tert | Tertullianus, vgl. Rahlfs, *Psalmi cum odis*, S. 21 |
| Th | Theodor von Mopsuestia, vgl. Rahlfs, *Psalmi cum odis*, S. 21 |
| Tht | Theodoret von Kyrrhos, vgl. Rahlfs, *Psalmi cum odis*, S. 21 |
| B´ | B + S |
| B’ | B + Bo |
| B’’ | B + S + Bo, d. h. der „unterägyptische Text“, vgl. Rahlfs, *Psalmi cum odis*, S. 26–28 |
| S’ | S + Bo |
| U´ | U + 2013 |
| U’ | U + Sa |
| U’’ | U + 2013 + Sa, d. h. der „oberägyptische Text“, vgl. Rahlfs, *Psalmi cum odis*, S. 28–32 |
| 2013’ | 2013 + Sa |
| R´ | R + La$^{R}$ |
| R’ | R + La$^{G}$ |
| R’’ | R + La$^{R}$ + La$^{G}$ (+ Aug), d. h. der „abendländische Text“, vgl. Rahlfs, *Psalmi cum odis*, S. 32–52 |
| La | La$^{R}$ + La$^{G}$, d. h. die altlateinische Übersetzung |
| *L* | T + Z |
| *L*’’ | *L* + Tht + Sy, d. h. die Lukian-Rezension, vgl. Rahlfs, *Psalmi cum odis*, S. 60–70 |
| *L*´ | *L* + Tht |
| *L*’ | *L* + Sy |
| Tht’ | Tht + Sy |
| *L*$^{pau}$ | weniger als 16 Handschriften bei H.–P. |
| *L*$^{b}$ | c. 16 – c. 35 Handschriften bei H.–P. |
| *L*$^{d}$ | c. 36 – c. 55 Handschriften bei H.–P. |
| *L*$^{a}$ | c. 56 – c. 75 Handschriften bei H.–P. |
| A’’ | A + 1219 + 55, vgl. Rahlfs, *Psalmi cum odis*, S. 70–71 |
| A´ | A + 1219 |
| A’ | A + 55 |
| 1219’ | 1219 + 55 |

| | |
|---|---|
| X* | Lesung *ante correctionem* |
| $X^{c}$ | *corrector* |
| $X^{s}$ | *suppletor* |
| $X^{mg}$ | *margo* |
| $X^{a}$ | die Mehrheit der Handschriften einer Familie |
| $X^{b}$ | die Minderheit der Handschriften einer Familie |
| $X^{d}$ | etwa die Hälfte der Handschriften einer Familie |
| $X^{pau}$ | wenige Handschriften einer Familie |
| $X^{(sil.)}$ | *ex silentio* im Vergleich mit H.–P. |
| $X^{(vid.)}$ | *videtur* |

**Tab. II.1.3:** Generelle Legenda

| | |
|---|---|
| $\|\|^{0r}$ / $\|\|^{0v}$ | Ende eines Folios, *recto* / *verso* |
| \| | Zeilenumbruch |
| / | Versumbruch [im synoptischen Psalmentext: eine Zeile in MPs., zwei in Ausgabe Rahlfs] |
| ¦ | zwei Zeilen in MPs., eine in Rahlfs |
| $^{0}$αβγ | Zeilennummer in Rahlfs, wenn sie nicht klar sein könnte |
| <αβγ> / <…> | Zusatz im Vergleich mit Rahlfs |
| [αβγ] / […] | Auslassung im Vergleich mit Rahlfs |
| add. | *addit*/*addunt* |
| app. | *appendix* |
| cfr. | *conferas* |
| cod./codd. | *codex*/*codices* |
| corr. | *corrigit* / *correctionem* |
| em. | *emendatur* / *emendavit* / *emendaverunt* |
| fort. | *fortasse* |
| i.e. | *id est* |
| in marg. | *in margine*/*marginibus* |
| om. | *omittit*/*omittunt* |
| rel. | *reliqui* |
| sing. / plu. | *singularis*/*pluralis* |
| vid. / $X^{(vid.)}$ | *videas*, *videtur* |

## II.2 Kritischer Text

Open Access. © 2024 bei den Autorinnen und Autoren, publiziert von De Gruyter. Dieses Werk ist lizenziert unter der Creative Commons Namensnennung - Nicht-kommerziell - Keine Bearbeitungen 4.0 International Lizenz.
https://doi.org/10.1515/9783110796544-008

**Ψαλμοί**

**I**

1 Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν
καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη
καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν,
2 ἀλλ’ ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ,
καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
3 καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων,
ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ
καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται·
καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.
4 οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως,
ἀλλ’ ἢ ὡς ὁ χνοῦς, ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.
5 διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει
οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων·
6 ὅτι γινώσκει κύριος ὁδὸν δικαίων,
καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

**II**

1 Ἵνα τί ἐφρύαξαν ἔθνη
καὶ λαοὶ ἐμελέτησαν κενά;
2 παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, / [2]καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ […]
3 [διάψαλμα] Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν
καὶ ἀπορρίψωμεν ἀφ’ ἡμῶν τὸν ζυγὸν αὐτῶν.
4 ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς,
καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς.
5 τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ
καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς

---

**2: 2.3** om. Philes, fort. pudoris causa? cfr. infra 2: 7.2–9.2

## Ψαλτήριον τερπνὸν εἰς θεὸν μέλος· μετεφράσθη δὲ διὰ στίχων μέτρου πολιτικοῦ παρὰ τοῦ σοφωτάτου Φιλῆ κῦρ Μανουὴλ ἐκείνου

### 1 – Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις

Μάκαρ ἀνὴρ ὁ τὴν βουλὴν τῶν ἀσεβῶν ἐκκλίνας,
ὃς ταῖς ὁδοῖς τῶν πονηρῶν οὐκ ἔστησε τοὺς πόδας
καὶ τὴν καθέδραν τῶν λοιμῶν παρῆλθε μὴ καθίσας.
ἄγει δ' αὐτοῦ τὴν θέλησιν, ὁ τοῦ κυρίου νόμος,
ἐν ᾧ τὸν ἅπαντα καιρὸν ἐμφρόνως μελετήσει·
ἔσται δ' ὡς ξύλον φυτευθὲν εἰς ὀχετοὺς ὑδάτων,
ὃ δὴ κατὰ τὸν πρέποντα καρποφορήσει χρόνον,
φέρον τὸ φύλλον εὐθαλὲς καὶ μηδαμῶς ἐκρέον·
οἷς δ' ἂν καὶ πράττοι, σφαλερὸν οὐκ ἀπαντήσει πέρας.
οὐχ οὕτω δ' οὖν οἱ δυσσεβεῖς, οὐδὲ τὸν ἴσον τρόπον·
εἰσὶ δὲ χνοῦς ἀπὸ τῆς γῆς ἐκτρέχων ὑπ' ἀνέμου,
λοιπὸν οὐκ ἀναστήσεται πᾶς ἀσεβὴς ἐν κρίσει,
οὐδέ τις ὅλως ἐν βουλαῖς ἁμαρτωλὸς δικαίων·
ὅτι γινώσκει κύριος τὴν τῶν δικαίων τρίβον
καὶ πᾶσα τρίβος ἀσεβῶν εἰς τέλος ἀπολεῖται.

### 2 – Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις

«Πολλὰ μὲν ἔθνη καὶ λαοὶ κατεφρυάξαντό μου,
κενά δε μελετήσαντες ἠλέγχθησαν ἀθρόοι·
παρέστησαν οἱ βασιλεῖς, συνῆλθον οἱ σατράπαι
λέγοντες· "ῥήξωμεν αὐτοῦ τὰς βασιλείους πέδας
καὶ τῆς δουλείας τῷ ζυγῷ μὴ κλίνωμεν αὐχένας."
σύ δ' ἐξεγέλασας αὐτούς, ὁ κατοικῶν τὸν πόλον,
καὶ μυκτηρίσας ἔδειξας ἀνήνυτον τὸ θράσος·
ἔβλεπες γὰρ καὶ μετ' ὀργῆς ἔτι σιγῶν ἐλάλεις
καὶ τούτους ἐξετάραττεν ὁ τοῦ θυμοῦ σου βρόμος·

**1** V (f. 104r) L (ff. 166rv)   **2** V (f. 104r) L (ff. 166v–167r)

**tit.** μέτρου πολιτικοῦ] πολιτικοῦ μέτρου L   **1 tit.** ψαλμὸς α΄· τό, μακάριος ἀνήρ, ὃς οὐκ ἐ: add. L
**2 tit.** ψαλμὸς β΄· ἵνα τί ἐφρίαξαν (sic) ἔθνη καὶ λαοὶ ἐμέ add. L

6 Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ’ αὐτοῦ
ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ
7 διαγγέλλων τὸ πρόσταγμα κυρίου
[...]
8 καὶ νῦν, βασιλεῖς, σύνετε·
παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.
9 δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ / 2καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
10 δράξασθε παιδείας, ¦
μήποτε ὀργισθῇ κύριος / 3καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.
ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ,
μακάριοι πάντες οἱ πεποιθότες ἐπ’ αὐτῷ.

**III – Ψαλμὸς τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Αβεσσαλωμ τοῦ υἱοῦ αὐτοῦ**

2 Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;
πολλοὶ ἐπανίστανται ἐπ’ ἐμέ·
3 πολλοὶ λέγουσιν τῇ ψυχῇ μου
Οὐκ ἔστιν σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ.
4 [διάψαλμα] σὺ δέ, κύριε, ἀντιλήπτωρ μου εἶ,
δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.
5 φωνῇ μου πρὸς κύριον ἐκέκραξα, / 2καὶ ἐπήκουσέν μου ἐξ ὄρους ἁγίου αὐτοῦ.
6 [διάψαλμα] ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα·
ἐξηγέρθην, ὅτι κύριος ἀντιλήμψεταί μου.
7 οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ
τῶν κύκλῳ συνεπιτιθεμένων μοι.
8 ἀνάστα, κύριε, σῶσόν με, ὁ θεός μου,
ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως,
ὀδόντας ἁμαρτωλῶν συνέτριψας.
9 τοῦ κυρίου ἡ σωτηρία, / 2καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

---

**2: 7.2–9.2** om. Philes pudoris causa **3: 4.2** ἀντιλήπτωρ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs
**3: 9.1–2** unus stichus in universis codd., praeter Sy (ergo Rahlfs)

ἐγώ δ’ ὑπῆρξα βασιλεὺς καὶ κατεστάθην μόνος
ἐπὶ Σιών, τὸ θαυμαστὸν τῆς ἐκκλησίας ὄρος.
ἀγγέλλων σου τὸ πρόσταγμα τοῖς ὑποτεταγμένοις.
τὰ δὲ λοιπά μοι τοῦ ψαλμοῦ τὸ πνεῦμα προλεγέτω·
δέδοικα γὰρ καὶ φείδομαι τῆς γλώσσης, μὴ κομπάσω.
σύνετε γοῦν, οἱ βασιλεῖς – πρὸς γὰρ ὑμᾶς ὁ λόγος –,
οἱ δέ γε κρίνοντες τὴν γῆν, παιδεύθητε σωφρόνως
καὶ τῷ θεῷ δουλεύσατε μετὰ χαρᾶς καὶ τρόμου
καὶ γνῶτε καὶ πιστεύσατε καὶ δράξασθε παιδείας,
μὴ πάλιν οὗτος ὀργισθῇ καὶ πάντας ἀπολέσῃ,
μᾶλλον καυθέντος τοῦ θυμοῦ καὶ ζέσαντος ἐν τάχει.»
ὥς φησι γὰρ ὁ ψαλμῳδὸς τῆς πείρας διδαξάσης·
οἱ πεποιθότες ἐπ’ αὐτὸν μακαριστοὶ καθάπαξ.

## 3 – Ψαλμὸς τῷ Δαυίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ

Πόθεν καὶ πῶς, παμβασιλεῦ, τὸ τῶν θλιβόντων σμῆνος;
πολλοὶ γὰρ ἐπανέστησαν ἐπὶ τὸν σὸν ἱκέτην,
πολλοὶ δὲ λελαλήκασι πολλάκις τῇ ψυχῇ μου·
«προσδόκιμος οὐκ ἔστι τις εἰς τοῦτον σωτηρία.»
σύ δ᾿ ἀντιλήπτωρ καὶ φρουρός· ἐξ ὕψους γὰρ φοιτήσας,
περίδοξον ἐπέθηκας τῇ κεφαλῇ μου κράτος·
τὴν γὰρ φωνήν μου τὴν κρυπτὴν ἐξ ὄρους ἠνωτίσω.
καὶ παρευθὺς ἀφύπνισας κοιμώμενον τὸν δοῦλον
καὶ μόνος ἀντελάβου μου θᾶττον ἐξεγερθέντος.
καὶ νῦν οὐ δέδοικα συχνὰς βαρβάρων μυριάδας ‖[104v]
τῶν κύκλῳ μοι, φιλάνθρωπε, συνεπιτιθεμένων.
ἀνάστα τοίνυν, σῶσον με τὸν σεσωσμένον πάλιν·
σύ γαρ ἐπάταξας τοὺς πρὶν μεμισηκότας μάτην
καὶ τοὺς ἀλήθοντας αὐτῶν συνέτριψας ὀδόντας·
καὶ τὴν ἀρχὴν εὐλόγησον ἐν τῇ χρηστότητί σου.

**3** V (ff. 104rv) L (f. 167r) Vat (f. 35v)

**3 tit.** ψαλμὸς γ΄· κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με add. L : κύριε τί ἐπληθύνθης add. Vat **3.1** τό] τῶ Vat **3.2** ἱκέτην] οἰκέτην L **3.7** ἠνωτίσω] ἰνωτίσω Vat **3.11** κύκλῳ] κύκλων Vat **3.12** σεσωσμένον] σεσωσωσμένον L **3.15** εὐλόγησον] εὐλόγησας L Vat

## IV – Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Δαυίδ

2 Ἐν τῷ ἐπικαλεῖσθαί με ¦
[1]εἰσήκουσέν μου ὁ θεὸς τῆς δικαιοσύνης μου·
ἐν θλίψει ἐπλάτυνάς με· / [3]οἰκτίρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.
3 υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;
<…>
ἵνα τί ἀγαπᾶτε ματαιότητα ¦
[2]καὶ ζητεῖτε ψεῦδος;
4 [διάψαλμα] καὶ γνῶτε ¦
[1]ὅτι ἐθαυμάστωσεν κύριος τὸν ὅσιον αὐτοῦ·
κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
5 ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε·
λέγετε ἐν ταῖς καρδίαις ὑμῶν / [3][καὶ] ἐπὶ ταῖς κοίταις ὑμῶν ¦
[3]κατανύγητε.
6 [διάψαλμα] θύσατε ¦
[1]θυσίαν δικαιοσύνης / καὶ ἐλπίσατε ἐπὶ κύριον.
7 πολλοὶ λέγουσιν ¦
[1]Τίς δείξει ἡμῖν τὰ ἀγαθά;
ἐσημειώθη ἐφ’ ἡμᾶς ¦
[2]τὸ φῶς τοῦ προσώπου σου, κύριε.
8 ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου·
ἀπὸ καιροῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.
9 <…>
ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω,
ὅτι σύ, κύριε, κατὰ μόνας ¦
[2]ἐπ’ ἐλπίδι κατῴκισάς με.

---

**4 tit.** ἐν … ψαλμός] $L^{d\prime}$ He, ἐν ψαλμοῖς ᾠδή B′ (Bo?) 1220, ergo Rahlfs **4: 2.2** με] $La^{G}$ $L^{d}$, μοι rel. codd.
**4: 5.3** καί] om. B’’ Sa GaAug L′ A’

**4 – Εἰς τὸ τέλος ἐν ὕμνοις· ψαλμὸς τῷ Δαυίδ**

Ἡνίκα σε πρὸς ἀρωγὴν ἐπεκαλούμην, σῶτερ,
εἰσήκουές μου τῆς κραυγῆς ἐπὶ δικαιοσύνῃ,
ἐπλάτυνας ἐν θλίψει με τῆς προσευχῆς ἀκούσας.
πλὴν μέχρι τίνος δυσμενεῖς – πρὸς γὰρ ὑμᾶς ὁ λόγος –
βαρεῖς τε καὶ δυσάγωγοι καὶ φαῦλοι τὰς καρδίας;
πῶς ἀγαπᾶτε τοὺς κενοὺς τῶν ἀπαιδεύτων λήρους,
πῶς δὲ ζητεῖτε παρ᾽ αὐτῶν προρρήσεις ἐψευσμένας;
καὶ ταῦτα θαυμαστώσαντος τοῦ κτίστου μοι τὸ κράτος.
γνῶτε γοῦν τοῦτο συνετῶς καὶ μὴ βασκαίνετέ με·
ἐν γὰρ τῷ κεκραγέναι με, πάλιν ἀκούσεταί μου.
καὶ μήδ᾽ ἐξαμαρτάνετε κἂν μετ᾽ ὀργῆς ἡ μῆνις,
ἀλλὰ τοὺς δεῦρο λογισμοὺς λιπόντες ἐν ταῖς κοίταις,
τῷ νόμῳ κατανύγητε τῆς ἀκραιφνοῦς εὐνοίας·
καὶ μεταγνόντες θύσατε τῷ δόντι μοι τὸ κράτος
δικαιοσύνην καὶ στοργὴν ὡς τούτῳ πεποιθότες,
ἀλλὰ μὴ πάλιν φάσκοντες ὑπὸ μικροψυχίας·
«τίς ἄρα δείξει τῷ κοινῷ τῶν ἀγαθῶν τὴν χύσιν;»
τὸ φῶς γὰρ τοῦ προσώπου σου, δέσποτα παντοκράτορ,
ἐσημειώθη μοι λαμπρῶς καὶ πρὸ τῆς μοναρχίας
καὶ πᾶσαν τῇ καρδίᾳ μου δέδωκας εὐφροσύνην
οἴνου καὶ σίτου πληθυσμὸν καὶ σὺν αὐτοῖς ἐλαίου
καὶ πᾶσαν ἄλλην ἀρχικὴν τέρψιν ἐμοὶ πηγάσας.
ὁμοῦ γοῦν κοιμηθήσομαι καὶ τακτικῶς ὑπνώσω,
ὅτι με σὺ κατῴκισας τῷ κράτει καταμόνας,
μεγάλας ὑποτείνας μοι καὶ τὰς ἐξῆς ἐλπίδας.

---

**4** V (f. 104v) L (ff. 167r–167v) D (tantum vv. 22–25, f. 198r)

---

**4 tit.** ψαλμὸς δʹ· ἐν τῷ ἐπικαλεῖσθαι, ψαλμὸς τῷ Δαυίδ· add. L : om. D

**V – Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαυίδ**

2 Τὰ ῥήματά μου ἐνώτισαι, κύριε, / [2]σύνες τῆς κραυγῆς μου·
3 πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, / [2]ὁ βασιλεύς μου καὶ ὁ θεός μου.
ὅτι πρὸς σὲ προσεύξομαι, κύριε· / **4** τὸ πρωὶ εἰσακούσῃ τῆς φωνῆς μου,
τὸ πρωὶ παραστήσομαί σοι καὶ ἐπόψομαι.
5 ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ εἶ,
<…>
οὐδὲ παροικήσει σοι πονηρευόμενος·
6 οὐ διαμενοῦσιν παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου,
ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
7 ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος·
ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος.
8 ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου,
προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ¦
[2]ἐν φόβῳ σου.
9 κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ¦
[1]ἕνεκα τῶν ἐχθρῶν μου,
κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.
10 ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια,
ἡ καρδία αὐτῶν ματαία·
τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν,
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.
11 κρῖνον αὐτούς, ὁ θεός·
ἀποπεσέτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν·
κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς,
ὅτι παρεπίκρανάν σε, κύριε.
12 καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ·
εἰς αἰῶνα ἀγαλλιάσονται, ¦
[2]καὶ κατασκηνώσεις ἐν αὐτοῖς,
καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου.
13 ὅτι σὺ εὐλογήσεις δίκαιον·
κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

---

**5: 9.1** ἕνεκα … μου] stichus singularis in A (cfr. Rahlfs apparatum) **5: 9.2** ἐνώπιον … μου] B’ R’’ Vulg L’’ Su A’ : Rahlfs ἐνώπιόν μου τὴν ὁδόν σου **5: 11.2** ἀποπεσέτωσαν] $L^{d}$He$^{c}$ 55 : ἀποπεσάτωσαν rel. codd.

### 5 – Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαυίδ

Πάλιν αὐτὸς ἐνώτισαι καὶ σύνες τῆς κραυγῆς μου,
ὁ βασιλεύς μου καὶ θεός, καὶ πρόσχες τῇ φωνῇ μου·
πρὸς σὲ γὰρ δὴ προσεύξομαι καὶ θᾶττον εἰσακούσῃ,
καὶ θᾶττον παραστήσομαι, θᾶττον με γὰρ ἐπόψει,
ἐπείπερ σὺ καθέστηκας καὶ πρὸ τῶν σῶν κτισμάτων,
παμβασιλεύς τε καὶ θεὸς οὐ θέλων ἀνομίαν·
οὐδὲ γὰρ παροικήσει σοι πονηρευόμενός τις,
οὐδὲ πρὸ τῶν βλεφάρων σου παράνομοι φανοῦνται.
πάντας ἁπλῶς ἐμίσησας τοὺς τῶν κακῶν ἐργάτας
καὶ πάντας ἀπολώλεκας τοὺς λέγοντας τὸ ψεῦδος
καὶ πάντας βδελυξάμενος τοὺς ἄνδρας τῶν αἱμάτων.
εἰσήγαγές με συμπαθῶς τῷ τῶν προγόνων δόμῳ·
καὶ προσκυνήσας πρὸς ναὸν τὸν τῆς ἐκ σοῦ σοφίας
ἐν φόβῳ σοι προσπέπτωκα καὶ τάδε προσηυξάμην·
ὁδήγησόν με, κύριε, τῇ σῇ δικαιοσύνῃ,
ἕνεκα δέ μου τῶν ἐχθρῶν καὶ τῶν ἀρρήτων δόλων,
ἐνώπιόν σου τὰς ἐμὰς δεῖξον ἀπταίστους τρίβους·
οὐδὲ γὰρ ἔστιν ἀψευδὲς τῶν πονηρῶν τὸ στόμα,
ματαία δέ τις ἀτεχνῶς ἡ κατ’ αὐτοὺς καρδία
καὶ τάφος ἀκατάκλειστος ὁ λάρυγξ τῶν βαρβάρων·
καὶ γλῶσσαν ἔχουσι μεστὴν τῆς πρὸς ἡμᾶς ἀπάτης,
οὓς κρῖνον μόνος ἄνωθεν, ὁ τοῦ παντὸς δεσπότης,
καὶ πάντων ἐκπεσέτωσαν τῶν μεμηχανημένων
καὶ πάντες ἐξωσθήτωσαν ἀσχέτως ἀνομοῦντες,
ἐπείπερ οὐ δεδοίκασι παραπικραίνοντές σε.
ἐγὼ δ’ ἐλπίζων ἐπὶ σὲ τὸν χορηγὸν τοῦ κράτους ‖[105r]
ἐν εὐφροσύνῃ μέλποιμι τὴν ἀγαθότητά σου,
κἀν τῇ ψυχῇ μου φέρων μου τὸν φόβον καὶ τὸν πόθον
κατὰ παντὸς τῇ κλήσει σου δυστρόπου καυχησαίμην·
σύ γαρ τὸ κράτος ἐν ἐμοὶ κρατύνας ἐπαυξήσεις,
ὁ καὶ τῆς εὐδοκίας σου τοῖς ὅπλοις περιφράξας.

**5** V (ff. 104v–105r) L (ff. 167v–168v) D (f. 198r)

**5 tit.** ψαλμὸς ε΄. τὰ ῥήματά μου ἐνώτισαι, κύριε· σύνες add. LD : Mi.Ps. *Poem.* 1.28–31 (ed. Westerink) in marg. ext. D (vid. app. 1) **5.13** ναὸν τόν] ναὸν τὸν in textu, τὸν ναὸν (contra metrum) in marg. ext. V : ναὸν τὸν LD **5.19** ματαία] ματαῖα D

### VI – Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ

2 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με
μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3 ἐλέησόν με, κύριε, ὅτι ἀσθενής εἰμι·
ἴασαί με, κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου,
4 καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· / [2]καὶ σύ, κύριε, ἕως πότε;
5 ἐπίστρεψον, κύριε, ῥῦσαι τὴν ψυχήν μου, / [2]σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.
6 ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου·
ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;
7 ἐκοπίασα ἐν τῷ στεναγμῷ μου,
λούσω καθ’ ἑκάστην νύκτα τὴν κλίνην μου,
ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω.
8 ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου,
ἐπαλαιώθην ἐν πᾶσιν τοῖς ἐχθροῖς μου.
9 ἀπόστητε ἀπ’ ἐμοῦ, ¦
πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ὅτι εἰσήκουσεν κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου·
10 ἤκουσεν κύριος τῆς δεήσεώς μου,
κύριος τὴν προσευχήν μου προσεδέξατο.
11 αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα ¦
[1]πάντες οἱ ἐχθροί μου, / [2]ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

### VII – Ψαλμὸς τῷ Δαυίδ, ὃν ᾖσεν τῷ κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμεν<ε>ί

2 Κύριε ὁ θεός μου, ἐπὶ σοὶ ἤλπισα· / [2]σῶσόν με ¦
[2]ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με,
3 μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου
μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος.
<…>

**6: 10.1** ἤκουσεν] *L* A, ἤκουσε 267 : εἰσήκουσεν rel. codd., ergo Rahlfs **7: 2.1–2** sic dividit 267

## 6 – Ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ

Μὴ τὸν θυμὸν ἐξενεγκὼν ἐλέγξῃς με τὸν δοῦλον,
μὴ δὲ παιδεύσῃς ἐν ὀργῇ τὸν παροργίσαντά σε·
ἀλλ' οἴκτειρον ὡς ἀσθενῆ τὸν παροξύνοντά σε,
ἴασαι δὲ τὴν ταραχὴν εὐσπλάγχνως τῶν ὀστέων,
ὅτι κυεῖ μου τὴν ψυχὴν πολλάκις ἀθυμία.
σύ δ' ἐπιστρέψας ῥῦσαι με καὶ σῶσον παραυτίκα.
τίς γαρ ἐστί σου, δέσποτα, κἀν τῷ θανάτῳ μνήμη
ἢ τίς ἐξομολόγησις ἐν ᾅδου παρ' ἀνθρώποις;
οἶδας τὸν κόπον τῆς ψυχῆς τὸν ἐν τοῖς στεναγμοῖς μου,
πῶς καθ' ἑκάστην ἔλουον νύκτα μικροῦ τὴν κλίνην
καὶ τὴν στρωμνὴν κατέβρεχον τοῖς ῥείθροις τῶν δακρύων
ἀπὸ θυμοῦ τὸν ὀφθαλμὸν τεταραγμένον φέρων,
ὡς παρακμάσαι νομισθεὶς ἐν πᾶσι τοῖς ἐχθροῖς μου.
πλὴν ἀλλὰ νῦν ἀπόστητε – πρὸς γὰρ ὑμᾶς ὁ λόγος –
οἱ μάτην ἐργαζόμενοι τήνδε τὴν ἀνομίαν·
καὶ γὰρ αὐτὸς ὁ κύριος ἤκουσε τοῦ κλαυθμοῦ μου,
ἤκουσε πάντως τῆς φωνῆς καὶ τῆς δεήσεώς μου
καὶ προσεδέξατο λαμπρῶς τῆς προσευχῆς τοὺς λόγους.
πλὴν ἀλλὰ ταραχθείησαν ἐπὶ κοινῆς αἰσχύνης
ἐν τάχει πάντες οἱ δεινοὶ τοῦ κράτους ἀντιστάται.

## 7 – Ψαλμὸς τῷ Δαυὶδ ὃν ᾖσεν κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμένει

Ἐπήλπισά σοι, κύριε, καὶ σῶσον με, θεέ μου,
καὶ ῥῦσαι με, φιλάνθρωπε, τῶν ἐπιτιθεμένων,
μήπως λαθών μου τὴν ψυχὴν ἁρπάσει τις ὡς λέων,
οὐκ ὄντος μοι τοῦ σῴζοντος οὐδὲ τοῦ λυτρουμένου.
πλὴν ἔχω τι καὶ τολμηρὸν ἐπαγαγεῖν τοῖς λόγοις·

---

**6** V (f. 105r) L (ff. 168v–169r) D (f. 198r) **7** V (ff. 105rv) L (ff. 169r–170r) D (ff. 198rv)

---

**6 tit.** κύριε, μὴ τὸν θυμόν σου ἐλέγξῃς με μηδέ add. L : κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ et in marg. inf. Mi.Ps. *Poem.* 1.32–36 (ed. Westerink) D (vid. app. 1) **7 tit.** κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσον με add. LD : Mi.Ps. *Poem.* 1.37–48 (ed. Westerink) in marg. inf. f. 198r et marg. sup. f. 198v D (vid. app. 1)

4 κύριε ὁ θεός μου, εἰ ἐποίησα τοῦτο,
εἰ ἔστιν ἀδικία ἐν χερσίν μου,
5 εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσίν μοι ¦
[1]κακά,
ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός,
6 καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι
καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου
καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.
7 [διάψαλμα] ἀνάστηθι, κύριε, ἐν ὀργῇ σου,
ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου·
καὶ ἐξεγέρθητι, κύριε ὁ θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω,
8 καὶ συναγωγὴ λαῶν κυκλώσει σε,
καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον.
9 κύριος κρινεῖ λαούς·
κρῖνόν με, κύριε, κατὰ τὴν δικαιοσύνην μου
καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ’ ἐμοί.
10 συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν,
καὶ κατευθυνεῖς δίκαιον·
ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεὸς δικαίως.
<…>
11 ἡ βοήθειά μου ¦
[1]παρὰ τοῦ θεοῦ / [2]τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.
12 ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος
μὴ ὀργὴν ἐπάγων καθ’ ἑκάστην ἡμέραν.
13 ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·
τὸ τόξον αὐτοῦ ἐνέτεινεν καὶ ἡτοίμασεν αὐτὸ
14 καὶ ἐν αὐτῷ ἡτοίμασεν σκεύη θανάτου,
τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο.
15 ἰδοὺ ὠδίνησεν ἀδικίαν,
συνέλαβεν πόνον καὶ ἔτεκεν ἀνομίαν·
16 λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτὸν
καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο·
17 ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ,
καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.

---

**7: 5.2** ἀποπέσοιμι] R *L*′ (ergo 267) : ἀποπέσοιν B*$^{(vid.)}$′ A, ergo Rahlfs **7: 7.2** μου] B″ Sa La$^{G}$ Aug Ga Tht A*$^{(vid.)}$ : σου R′ *L*$^{a}$’ (ergo 267) Ch A$^{c(vid.)}$’ **7: 7.3** καί] R′Aug Ga *L*″ (etiam 267) A’ **7: 10.1** δή] δέ pro δή Rahlfs non obtestatur, sed cfr. *autem* in La$^{R}$Aug, *vero* in La$^{G}$ **7: 11.1** δικαίως … μου] sic praebent *L* (etiam 267) He, qui 10.3–11.1+2 dividit

εἰ γὰρ αὐτὸς ἐπευδοκεῖς ὁ τὰ κρυπτά μου βλέπων,
οὐκ ἔστιν ἀδικία τις ἐν ταῖσδε ταῖς χερσί μου.
εἴπερ οὐκ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσι
μᾶλλον κακὰ τῶν ἀγαθῶν, ἵνά τι παροργίσω;
εἰ δ' οὖν ἐκπέσοιμι κενὸς ἀπὸ τῶν ἀλλοτρίων
καὶ καταλάβοι τὴν ψυχὴν διώξας ὁ μισήσας
καὶ τὴν ζωήν μου δυσμενῶς εἰς γῆν καταπατήσας,
εἰς χοῦν κατασκηνώσαι μου τὴν δόξαν, παντοκράτορ,
οὐκοῦν αὐτὸς ἀνάστηθι μετὰ θυμοῦ ῥαγδαίου
καὶ πάντων γίνου τῶν ἐχθρῶν ὑπέρτερος ἐν τούτῳ
καὶ πάλιν ἐξεγέρθητι, καθάπερ ἐνετείλω,
καὶ δήμου σε τὸν ἄπειρον συναγωγὴ κυκλώσει
καὶ ταύτης ὅσον ταπεινὸν ἐπίστρεψον εἰς ὕψος·
ὅτι κρινεῖς ἐπὶ τῆς γῆς τὴν τῶν ἀνθρώπων φύσιν,
ἐμέ δε κρῖνον, κύριε, πρὸς τὴν δικαιοσύνην
καὶ πρὸς τὴν ἀκακίαν μου τὸν ἐφικτόν μοι τρόπον.
ὁ δὲ τῶν νῦν ἁμαρτωλῶν συντελεσθήτω τρόπος,
ἐπὶ τοὺς ὄντας ἐν ἡμῖν κατευθυνεῖς δικαίως
πάντας νεφροὺς δικαστικῶς ἐτάζων καὶ καρδίας.
ἀλλ' ὦ τὴν φύσιν δυσμενεῖς – πρὸς γὰρ ὑμᾶς ὁ λόγος –
ἐμοῦ μὲν ἡ βοήθεια καὶ τὸ πρὸς πάντας θάρσος
παρὰ τοῦ σῴζοντος θεοῦ τοὺς ἴσους τὴν καρδίαν·
ὅτι κριτής ἐστι σοφὸς καὶ δυνατὸς καὶ πρᾶος
ὀργὴν ἐπάγων μηδαμῶς τοῖς φαύλοις καθημέραν.
ἂν γοῦν οὐκ ἐπιστρέψητε, στιλβώσει τὴν ῥομφαίαν·
τὸ τόξον γὰρ ἐνέτεινε καὶ πρὸς τὸ πλῆξαι βλέπει ‖105v
καὶ τακτικῶς ηὐτρέπισε τὰ τοῦ θανάτου σκεύη
καὶ τοῖς θερμοῖς εἰς τὸ κακὸν ἐξείργασται τὰ βέλη.
πλὴν ἀδικίαν καθ' ἡμῶν ὠδίνησεν ὁ φθόνος
καὶ φθόρον πόνον συλλαβὼν ἔτεκεν ἀνομίαν
καὶ λάκκον ὤρυξε δεινὸν καὶ τοῦτον ἀνασκάψας
ἐνέπεσεν εἰς τὸν μυχὸν τὸν τῆς αὐτοχειρίας,
εἰς δὲ τὴν τούτων κεφαλὴν ἐπέστρεψεν ὁ πόνος
τῆς ἀδικίας ἐπ' αὐτῆς τῆς κορυφῆς ἐλθούσης.

---

**7.29** καθημέραν ] VL, καθ' ἡμέραν D

18 ἐξομολογήσομαι κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ
καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

## VIII – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυίδ

2 Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ,
ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.
3 ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον
ἕνεκα τῶν ἐχθρῶν σου
τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.
4 ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου,
σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
5 τί ἐστιν ἄνθρωπος, ὅτι μιμνῄσκῃ αὐτοῦ,
ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;
6 ἠλάττωσας αὐτὸν βραχύ τι παρ’ ἀγγέλους,
δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν·
7 καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου,
πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,
8 πρόβατα καὶ βόας πάσας, / [2]ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,
9 τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης,
τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
10 κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

## IX – Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαυίδ

2 Ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου,
διηγήσομαι πάντα τὰ θαυμάσιά σου·
3 εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί, / [2]ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε.
4 ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω

ἀλλ’ ἐξομολογήσομαι τὸν ὕψιστον δοξάζων
καὶ τούτου ψάλλων μυστικῶς οὐ παύσομαι τῇ κλήσει.

### 8 – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαυίδ

Ὡς θαυμαστόν σου τοὔνομα πάσῃ τῇ γῇ, παντάναξ·
ἐπήρθη γὰρ τῶν οὐρανῶν μᾶλλον ἡ σὴ λαμπρότης,
ἐκ δὲ νηπίων στόματος τὸν αἶνον κατηρτίσω
ἕνεκα πάντως τῶν ἐχθρῶν τῆς αὐτοκρατορίας,
τοῦ καταλῦσαι τὸν ἐχθρὸν ἐκδικητὴν ὀφθέντα·
εἴδομεν γὰρ τοὺς οὐρανούς, ἔργα τῶν σῶν δακτύλων,
καὶ τὴν σελήνην μετ’ αὐτῶν κτισθεῖσαν τῶν ἀστέρων.
τί δ’ ἔστι, σῶτερ, ἄνθρωπος, ὅτι μιμνήσκῃ τούτου;
τίς δ’ ἔστι τόκος γηγενοῦς, ὃν ἐπισκέπτῃ πράως;
ὅμως ἠλάττωσας αὐτὸν βραχύ τι παρ’ ἀγγέλους
καὶ τοῦτον ἐστεφάνωσας ὑπὸ τιμῇ καὶ δόξῃ
καὶ τοῦτον ἔθου τῶν τῆς σῆς πρῶτον χειρὸς κτισμάτων
καὶ πάντα καθυπέταξας ὑπὸ τοὺς τούτου πόδας,
πρόβατα, βόας καὶ κτηνῶν παντοδαπῶν ἀγέλας
καὶ τὰς γονὰς τῶν πετεινῶν καὶ τοὺς ὑγροὺς ἰχθύας
καὶ τὰ προσπορευόμενα ταῖς τῆς θαλάσσης τρίβοις.
ὡς θαυμαστόν σου τοὔνομα πάσῃ τῇ γῇ, παντάναξ.

Δόξα. Κάθισμα α΄

### 9 – Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ. ψαλμὸς τῷ Δαυίδ

Ἐν ὅλῃ σε, παμβασιλεῦ, δοξάσω τῇ καρδίᾳ
καὶ τὰ θαυμάσια τὰ σὰ πάντα πρὸς πάντας φράσω.
ἐγὼ δ’ ἐν σοὶ τερφθήσομαι, σοῦ δὲ ψαλῶ τῇ κλήσει.
ἐν τῷ στραφῆναι τοὺς ἐχθροὺς ὀπίσω μετ’ αἰσχύνης

**8** V (f. 105v) L (f. 170r) D (f. 198v) **9** V (ff. 105v–106v) L (ff. 170r–172r) D (ff. 198v–199r)

**8 tit.** κύριε, ὁ κύριος ἡμῶν ὡς θαυμαστόν add. LD : Mi.Ps. *Poem.* 1.49–51 (ed. Westerink) in marg. ext. D (vid. app. 1) **8.4** πάντως] πᾶν ως D **8.10** ἀγγέλους] ἀγγέλοις D **8.14** παντοδαπῶν] in marg. ext. post corr., παντοδαπὰς in textu ante corr. : παντοδαπὰς LD **9 tit.** ψαλμὸς τῷ Δαυίδ om. D : ψαλμὸς θ΄ ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ add. LD : Mi.Ps. *Poem.* 1.52–60 (ed. Westerink) in marg. inf. ff. 198v–199r D (vid. app. 1)

ἀσθενήσουσιν καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου,
5 ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου,
ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην.
6 ἐπετίμησας ἔθνεσιν, ¦
[1]καὶ ἀπώλετο ὁ ἀσεβής,
τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
7 τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, ¦
[1]καὶ πόλεις καθεῖλες,
ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ’ ἤχου.
8 καὶ ὁ κύριος εἰς τὸν αἰῶνα μένει,
ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ,
9 καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ,
κρινεῖ λαοὺς ἐν εὐθύτητι.
10 καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι,
βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσιν·
11 καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου,
ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, κύριε.
12 ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών,
ἀναγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἐπιτηδεύματα αὐτοῦ,
13 ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη,
οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων.
14 ἐλέησόν με, κύριε, ἰδὲ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου,
ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου,
15 ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου
ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών·
ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου.
16 ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν,
ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήμφθη ὁ ποὺς αὐτῶν·
17 γινώσκεται κύριος κρίματα ποιῶν,
ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήμφθη ὁ ἁμαρτωλός.
<…>
18 [ᾠδὴ διαψάλματος] ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην,
πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ·
19 ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός,
ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τὸν αἰῶνα.

**9: 6.2** αὐτοῦ] *L*’’ (etiam 267) 55 : αὐτῶν B’’ Sa R’’ **9: 7.1** καὶ … καθεῖλες] duo stichi in Sa$^{B}$ R’’ Ga Sy necnon 267 **9: 7.2** μετ’ ἤχου] *L*’’ (etiam 267) : μετ’ ἤχους B′ R *L*$^{pau}$ A’, ergo Rahlfs **9: 10.2** ἐν θλίψεσιν] S R *L*’’ (etiam 267) 55 : ἐν θλίψει, B’ Sa$^{(vid.)}$ La Ga A′, ergo Rahlfs

καὶ γὰρ ἐκ τοῦ προσώπου σου νοσοῦντες ἀπολοῦνται,
τὴν κρίσιν μου καὶ δίκην μου σοῦ πεπραχότος μόνου·
ὡς γὰρ δικάζων μυστικῶς ἐκάθισας ἐν θρόνῳ.
ὡς ἔθνεσι τοῖς πονηροῖς ἀνθρώποις ἐπετίμας
καὶ παρευθὺς ὁ τῶν κακῶν ἀπώλλυτο γεννήτωρ,
οὗ καὶ τὴν κλῆσιν τὴν αἰσχρὰν ἐξήλειψας εἰς τέλος·
καὶ τῶν ἐχθρῶν ἐξέλιπον ἐντεῦθεν αἱ ῥομφαῖαι,
πᾶσαν δὲ πόλιν δυσμενῶν καθεῖλες βουλευμάτων
καὶ τὸ μνημόσυνον αὐτῶν ἀπώλετο μετ᾽ ἤχου·
μόνος γὰρ ἄφθαρτος αὐτὸς ὑπῆρξας, παντοκράτορ,
ὃς καὶ τὸν θρόνον τῆς ἀρχῆς ἡτοίμασας ἐν κρίσει,
κρινεῖς δὲ σύμπασαν τὴν γῆν μετὰ δικαιοσύνης
καὶ τὰς φυλὰς εὐθύτητι μεμοχλευκὼς ἐτάσεις.
ἐμοί δε σὺ καταφυγὴ τῷ πένητι τὸν τρόπον
καὶ βοηθὸς κἀν τοῖς δεινοῖς κἀν ταῖς εὐημερίαις,
ὡς ἂν ἐν σοὶ θαρσήσωσιν οἱ γνόντες σου τὴν κλῆσιν·
οὐδὲ γὰρ ἐγκατέλιπες τὸν ἐκζητήσαντά σε.
καὶ διατοῦτο σοι ψαλῶ τῷ τὴν Σιὼν οἰκοῦντι
καὶ πᾶσι σε τοῖς ἔθνεσιν ἀναγγελῶ σωτῆρα·
καὶ γὰρ οὐ συνεχώρησας χύσιν ἐλθεῖν αἱμάτων,
οὐδ’ ἐπελάθου τῆς κραυγῆς τῶν τοῦ κοινοῦ πενήτων,
ἀλλ’ εὐμενῶς ἐπέβλεψας εἰς τὴν ταπείνωσίν μου
καὶ τῶν ἀδήλων με πυλῶν ἐρρύσω τοῦ θανάτου,
ὡς ἂν ἁπάσας σου λαμπρῶς κηρύξω τὰς αἰνέσεις ‖106r
καὶ τῆς Σιὼν τῆς θυγατρὸς ταῖς πύλαις μουσουργήσω·
ἐπὶ τῷ σῷ γὰρ εὐφρανθεὶς φανοῦμαι σωτηρίῳ
τοῖς εἰργασμένοις τῶν κακῶν βαράθροις ἐμπαγέντων
καὶ τῇ κρυβείσῃ παρ’ αὐτῶν σφραγῖδι συλληφθέντων·
ὅτι σὺ μόνος ὑπὲρ νοῦν κρίματα δρῶν ἐγνώσθης,
ἐν δὲ τοῖς ἔργοις τῶν χειρῶν ὁ φαῦλος τῶν ἰδίων
ὥσπερ ἐν βρόχοις πετεινὸν ἠρέμα κατεσχέθη.
οὐκοῦν ἀποστραφήτωσαν οἱ δυσμενεῖς εἰς ᾅδην
μετὰ τῶν οὐκ ἐχόντων σου τὴν μνήμην ἀλλοτρίων·
καὶ γὰρ οὐκ ἐπιλέλησμαι παρὰ τῆς σῆς ἰσχύος,
ἐπεὶ καὶ πᾶσα βάσιμος ὑπομονὴ πενήτων.

**9.22** ψαλῶ] ψαλλῶ D **9.29** μουσουργήσω] μουσεργήσω L

20 ἀνάστηθι, κύριε, ¦
[1]μὴ κραταιούσθω ἄνθρωπος,
κριθήτωσαν ἔθνη ἐνώπιόν σου·
21 κατάστησον, κύριε, νομοθέτην ἐπ’ αὐτούς,
γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.
22 [διάψαλμα] ἵνα τί, κύριε, ἀφέστηκας μακρόθεν,
ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψει;
23 ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ¦
[1]ἐμπυρίζεται ὁ πτωχός,
συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται.
24 ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ,
καὶ ὁ ἀδικῶν ἐνευλογεῖται·
25 παρώξυνεν τὸν κύριον ὁ ἁμαρτωλός
Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει·
οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ.
26 βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ,
ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ,
πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει·
27 εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐ μὴ σαλευθῶ,
ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.
28 οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου,
ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος.
29 ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων
ἐν ἀποκρύφοις ἀποκτεῖναι ἀθῷον,
οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν·
30 ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ,
<…>
ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν,
ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν·
31 ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν,
κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.
32 εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Ἐπιλέλησται ὁ θεός,
ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος.
33 ἀνάστηθι, κύριε ὁ θεός, ὑψωθήτω ἡ χείρ σου,
μὴ ἐπιλάθῃ τῶν πενήτων·
34 ἕνεκεν τίνος παρώξυνεν ¦

---

**9: 20.1** *domine* La$^{G}$, sed nulla mentio de divisione in duo stichis in Rahlfs **9: 29.3** ἀποβλέπουσιν] plurimi codices, sed cfr. ἐπιβλέπουσιν in $L^{pau}$ et 55

πλὴν ἀλλ’ ἀνάστηθι λαμπρῶς ὁ παντοκράτωρ πάλιν
καὶ πᾶς τῷ κράτει δυσμενὴς μὴ κραταιούσθω πλέον,
τὰ δ’ ἔθνη πρὸ προσώπου σου κριθήτωσαν ἐνδίκως·
ἐπεί με σὺ κατέστησας ἐν τούτοις νομοθέτην,
γνώτωσαν ἔθνη πρακτικῶς ὅτι θνητοὶ τὴν φύσιν.
σύ δ’ οὐκ ἀφέστηκας μακρὰν τῶν ἐπικαλουμένων,
ἀλλ’ οὐδὲ λύπης καὶ χαρᾶς ὑπεριδὼν εὑρέθης·
ἂν γὰρ τὸν ὑπερήφανον μήδ’ ὑπαντῶντα βλέπῃ,
ὁ πένης ἐμπυρίζεται τοῖς ἄνθραξι τοῦ ζήλου.
πολλοί δε συλλαμβάνονται τοῖς οἴκοθεν πρακτέοις,
ὅτι καὶ πᾶς ἁμαρτωλὸς αὐτόθεν ἐπαινεῖται
καὶ πᾶς ὁ μάτην ἀδικῶν ἐνευλογεῖται πάλιν·
ἀλλ’ οὖν τὸν ἀναμάρτητον ὁ φαῦλος παροξύνει,
ᾧ πρὸς τὸ πλῆθος τῶν κακῶν καὶ τῆς ὀργῆς τὸ πλῆθος·
οὐδὲ γὰρ οἶδε σε θεὸν τὸν τοῦ παντὸς ἐργάτην,
ἀλλὰ μολύνει τὰς ὁδοὺς ἐπὶ παντὸς τοῦ χρόνου.
σύ δ’ ἐπ’ αὐτὸν ἀνταναιρεῖς πάντα τὰ κρίματά σου.
δοκεῖ γὰρ πάντων τῶν ἐχθρῶν ὀφθήσεσθαι βελτίων
ὡς μὴ σαλευθησόμενος ἐπὶ παντὶ τῷ χρόνῳ
παρ’ οὐδενὸς τῶν δυσχερῶν τῶν εἰς τὸν μάτην βίον.
ἀρᾶς γε μήν ἐστι μεστὸς καὶ δόλου καὶ πικρίας
κόπον καὶ πόνον δολερῶς ὑπὸ τὴν γλῶσσαν φέρων,
ὃς ἐνεδρεύων κάθηται μετὰ τῶν βαθυπλούτων
ἐν ἀποκρύφοις μελετῶν ἀθῷον ἀποκτεῖναι.
κἂν ἔχῃς σὺ τοὺς ὀφθαλμοὺς ἐπὶ τὸν πένητά σου,
ὅδ’ ἐνεδρεύει χαλεπῶς τῇ μάνδρᾳ τῶν ἀνθρώπων,
καθάπερ τις ἀπρόσμαχος ἐν ἀποκρύφῳ λέων,
καὶ κρύπτει τὴν ἐπιβουλήν, ἵνα πτωχὸν ἁρπάσῃ
καὶ τοῦτον εἰς τὸ βάραθρον ἑλκύσῃ τοῦ θανάτου
καὶ ταπεινώσῃ δυστυχῆ τῇ παρ’ αὐτοῦ παγίδι.
ἀλλ᾿ ὅταν ταῦτα γένηται, κἀκεῖνος ὀλισθαίνει,
ἐπεί σε τὸν ἀλάθητον ἡγήσατο λανθάνειν
καὶ στρέφειν σου τὸ πρόσωπον ὥστε μὴ ταῦτα βλέπειν.
πλὴν ἀλλ’ ἀνάστηθι καὶ νῦν, ὑψώσας μου τὴν χεῖρα,
καὶ λήθην τῶν πενήτων σου μὴ λάβοις, εὐεργέτα.
ὥστε σε τίνος ἕνεκα παροξυνεῖ τολμήσας,

**9.40** παντοκράτωρ] παντοκράτορ L **9.57** δοκεῖ] δοδεῖ in δοκεῖ corr. D s.l.

[1]ὁ ἀσεβὴς τὸν θεόν;
εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἐκζητήσει.
35 βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς
τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου·
σοὶ οὖν ἐγκαταλέλειπται ὁ πτωχός,
ὀρφανῷ σὺ ἦσθα βοηθῶν.
36 σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ,
ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι’ αὐτήν·
37 κύριος βασιλεὺς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
ἀπολεῖσθε, ἔθνη, ἐκ τῆς γῆς αὐτοῦ.
38 τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας κύριε,
τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχεν τὸ οὖς σου
39 κρῖναι ὀρφανῷ καὶ ταπεινῷ,
ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

## XLVI (1) – Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός

2 Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας,
ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως,
3 ὅτι κύριος ὕψιστος φοβερός,
βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
4 ὑπέταξεν λαοὺς ἡμῖν / [2]καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
5 ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ,
τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν.
6 [διάψαλμα] ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ,
κύριος ἐν φωνῇ σάλπιγγος.
7 ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε,
ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε,
8 ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός, / [2]ψάλατε συνετῶς.
9 ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη,
ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.

---

**9: 37.1** κύριος βασιλεύς] *L* (etiam 267) : βασιλεύσει κύριος B R′ Tht′Ch A′ **9: 38.1** εἰσήκουσας κύριε] *L′* (etiam 267) : εἰσήκουσεν κύριος $La^{G}$ **9: 38.2** προσέσχεν] προσέσχε 267, sed vid. προσέσχες, πρόσχε et πρόσχες in apparatu H.–P. **46 (1): 4.1–2** unus stichus B 2013’ R′ TSy A′ necnon 267 **46 (1): 5.1** ἑαυτοῦ] S R $L^{d}$ (etiam 267) T A′ : αὐτοῦ B 2013, ergo Rahlfs **46 (1): 8.1–2** sic dividunt $Sa^{B}$ R′ THe necnon 267

εἴπερ ἐμοί τις δυσμενὴς καὶ τὸν αὐτίκα χρόνον
νομίζων εἰς ἐκδίκησιν οὐκ ἀναστήσεσθαί σε·
καὶ μὴν ὁρᾷς περιφανῶς πάντα θυμὸν καὶ πόνον
τοῦ κατασχεῖν σου ταῖς χερσὶ τοὺς τῶν κακῶν ἐργάτας.
ἐγώ δε σός εἰμι πτωχὸς καὶ καταλέλειμμαί σοι,
καὶ σύ μοι πάλιν ἀρωγὸς ὡς ἀπωρφανισμένῳ
καὶ σύντριψον τὴν δύναμιν τῶν ἐπανισταμένων,
ὡς μήδ' εὑρίσκειν τοὺς κακοὺς τοὺς ἐπιζητουμένους·
ὅτι σὺ μόνος βασιλεὺς ἐπ' ἀθανάτου κράτους, ‖[106v]
ὃς καθελεῖς καὶ τῶν ἐθνῶν ἀπὸ τῆς γῆς τὸ θράσος
κἀμοῦ τοῦ πένητος τοῦ σοῦ τὴν ἔφεσιν συστήσεις
καὶ τὴν ἑτοιμασίαν μοι πληρώσεις τῆς καρδίας
ὥστε με κρίνειν ὀρφανῷ καὶ τεταπεινωμένῳ,
ἵνα μηκέτι γηγενὴς μεγαλαυχῇ κομπάζων.

Δόξα. Κάθισμα ϛʹ

**46 I – Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός**

Ἡ πανσπερμία τῶν ἐθνῶν, δεῦτε, κροτεῖτε χεῖρας,
ἐν δὲ φωνῇ φαιδρότητος ὑμνήσατε τὸν κτίστην·
ὕψιστος γὰρ ὁ κύριος καὶ παντοκράτωρ μέγας
καὶ φοβερὸς ἀπαξαπλῶς εἰς ἅπασαν τὴν κτίσιν.
λαοὺς ὑπέταξεν ἡμῖν ἔθνη τιθεὶς εἰς πόδας,
κλῆρον ἡμῖν ἐβράβευσεν, ὃς ἐκλεκτὸς ἦν τούτῳ,
καὶ καλλονὴν τὴν Ἰακὼβ ἥνπερ αὐτὸς ἐπόθει.
ἐν ᾄσμασιν ἀλαλαγμῶν ὁ πλαστουργὸς ἀνέβη,
ὁ κύριος ἐν σάλπιγγι φωνούσῃ κατακράτος.
ψάλατε δὴ τῷ πλαστουργῷ, ψάλατε δὴ τῷ κτίστῃ,
ψάλατε δὴ τῷ βασιλεῖ, ψάλατε τῷ δεσπότῃ,
ψάλατε δὴ καὶ συνετῶς πάσης τῆς γῆς κρατοῦντι·
εἰς πᾶν γὰρ ἐβασίλευσεν ἔθνος ὁ παντοκράτωρ,
ὃς κάθηται περιφανῶς ἐπὶ σφετέρου θρόνου.

---

**46 I** V (f. 106v) L (ff. 172rv) D (f. 217r)

---

**9.89** μεγαλαυχῇ] μεγαλαυχεῖ D **46 I tit.** ψαλμὸς τῷ Δαυὶδ ὑπὲρ τῶν υἱῶν Κορέ ψαλμὸς μϛʹ πάντα τὰ ἔθνη κροτήσατε χεῖρας add. LD : ψαλμὸς μϛʹ πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. ἔστι καὶ ἕτερος ψαλμὸς ὅμοιος τούτου οὗ ἀρχὴ πάντα τὰ φῦλα τῶν ἐθνῶν ζήτει ἔμπροσθεν φύλλον μβʹ add. L

10 ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ,
ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

**XLVII (1) – Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ· δευτέρᾳ σαββάτου**

2 Μέγας κύριος καὶ αἰνετὸς σφόδρα
ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ,
3 εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς.
ὄρη Σιών, τὰ πλευρὰ τοῦ βορρᾶ,
ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου,
4 ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,
ὅταν ἀντιλαμβάνηται αὐτῆς.
5 ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν,
διήλθοσαν ἐπὶ τὸ αὐτό·
6 αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν,

**L – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυὶδ 2 ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβέε τὴν γυναῖκα τοῦ Οὐρίου**

3 Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
4 ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου / [2]καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
5 ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω,
καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.
6 σοὶ μόνῳ ἥμαρτον / [2]καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα,
ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου / [4]καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
7 ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην,
καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.
8 ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας,
τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
9 ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·

---

**47 (1): 3.1** εὐρίζῳ] 267 et alii codd., vid. apparatum H.–P. et Rahlfs : $L^{d}$B$^{c}$He$^{c}$ **47 (1): 5.2** διήλθοσαν] S R *L''* (etiam 267) 1219 : ἤλθοσαν B A', ergo Rahlfs **50 tit.** τὴν ... Οὐρίου] $L^{a}$Tht$^{p}$ (etiam 267, sed non THe et $L^{pau}$) **50: 6.1–4** sic dividunt 2013' R' necnon 267, fort. Ga

συνῆλθον ἄρχοντες λαῶν Ἀβραὰμ τῷ δεσπότῃ·
πᾶς κραταιός γαρ τοῦ θεοῦ τῆς γῆς ὑπερυψώθη.

### 47 I – Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ σαββάτου

Μέγας αὐτὸς ὁ κύριος, ἐπαινετός δε σφόδρα,
ἐν πόλει τοῦ δεσπόζοντος, ἐν ὄρει τῷ σφετέρῳ
ὡς ἐν ἀγαλλιάματι πάσης τῆς γῆς εὐροίζῳ.
ὄρη Σιὼν τὰ τοῦ βορρᾶ πάντα πλευρὰ τυγχάνει,
ἡ πόλις δὲ τοῦ πανταχοῦ μεγάλου βασιλέως·
θεὸς ἐν βάρεσιν αὐτῆς γινώσκεται δεσπότης,
ὅταν ἀντιλαμβάνηται μετ’ εὐσπλαγχνίας ταύτης,
ὅτι τῆς γῆς οἱ βασιλεῖς συνήχθησαν ἀθρόοι·
διῆλθον δὲ μετὰ κοινῶν οἱ πάντες βουλευμάτων,
αὐτοὶ δὲ τεθαυμάκασιν οὕτως ἰδόντες τάδε.

### 50 – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθεν πρὸς Βηρσαβέε τὴν γυναῖκα Οὐρίου

Ἐλέησόν με, κύριε, κατὰ τοὺς οἰκτιρμούς σου
τῷ πλήθει τῆς χρηστότητος ἐκτρίψας μου τὸ πταῖσμα,
τῆς ἀνομίας πλῦνον με, τοῦ σφάλματος ἁγνίσας·
ἐγώ γαρ οἶδα πεπραχὼς τὴν ἐμαυτοῦ κακίαν
τὸ συνειδὸς ἐλέγχον μου τὴν ἁμαρτίαν ἔχων.
σοὶ μόνῳ πάντως ἥμαρτον καὶ πρὸ τῶν σῶν ὀμμάτων,
ὅπως ἂν σὺ δικαιωθῇς νικήσας ἐν τῇ κρίσει·
ἰδού γαρ ἐν ἐγκλήμασιν ὁ τλήμων συνελήφθην,
ἐν δὲ πολλοῖς με σφάλμασιν ἐκίσσησεν ἡ μήτηρ·
ἰδού γαρ τὴν ἀλήθειαν ἠγάπησας ἐκτόπως,
τὰ τῆς σοφίας σου κρυπτὰ πάντα δεδήλωκάς μοι.
ὑσσώπῳ σύ με ῥαντιεῖς καὶ καθαρὸν ἐργάσῃ,

---

**47 I** V (f. 106v) L (f. 172v) D (f. 217r) **50** V (ff. 106v–107r) L (ff. 172v–173v) D (ff. 210rv) Vat (ff. 38r–39v)

---

**47 I tit.** μέγας κύριος καὶ αἰνετὸς σφόδρα add. LD **50 tit.** ἐλέησόν με ὁ θεὸς κατὰ τὸ μεγά add. LD : Mi.Ps. *Poem.* 1.128–131 (ed. Westerink) in marg. ext f. 210r add. D (vid. app. 1) : Mi.Ps. 54.613–642 (ed. Westerink) add. Vat, f. 38r (vid. app. 2) **50.9** ἐν] om. Vat **50.12** μοι] μου Vat

πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
10 ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην·
ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
11 ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου
καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
12 καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός,
καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
13 μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου
καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
14 ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου
καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.
15 διδάξω ἀνόμους τὰς ὁδούς σου,
καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
16 ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου·
ἀγαλλιάσεται ἡ γλῶσσά μου τῇ δικαιοσύνῃ σου.
17 κύριε, τὰ χείλη μου ἀνοίξεις,
καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
18 ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·
ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
19 θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον,
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει.
20 ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ·
21 τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, / [2]ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## LXIX – Εἰς τὸ τέλος· τῷ Δαυὶδ εἰς ἀνάμνησιν, 2 εἰς τὸ σῶσαί με κύριον

[2a]Ὁ θεός, εἰς τὴν βοήθειάν μου πρόσχες.
[2b]<κύριε εἰς τὸ βοήθησαι μοι σπεῦσον>
3 αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντές μου τὴν ψυχήν,
ἀποστραφείησαν εἰς τὰ ὀπίσω ¦

**50: 16.2** τῇ δικαιοσύνῃ] $L^{pau}$ (etiam 267) : τὴν δικαιοσύνην Rahlfs **50: 19.2** ἐξουδενώσει] codd. (etiam 267) : ἐξουθενώσει B, ergo Rahlfs **50: 21.1–2** unus stichus $Sa^{L}$ **69: 2.2b** add. S᾽ R′ Ga *L*᾽᾽ (etiam 267) 1219᾽

πλυνεῖς με καὶ λευκότερος ὀφθήσομαι χιόνος.
ἀκουτιεῖς μοι χαρμονὴν τὴν ἀπὸ τῆς συγγνώμης
καὶ πᾶν ὀστοῦν ταπεινωθὲν τέρψιν εὑρήσει ξένην.
ἀπόστρεψόν σου τὴν μορφὴν τῶν ἐν ἐμοὶ σφαλμάτων
καὶ πάσας ἐξαφάνισον τὰς πονηράς μου πράξεις.
καρδίαν κτῖσον ἐν ἐμοὶ κηλίδων ὑπερτέραν,
εὐθές δε πνεῦμα τοῖς ἐμοῖς ἐγκαίνισον ἐγκάτοις.
μὴ ῥίψῃς πόρρω με τοῦ σοῦ προσώπου, παντοκράτορ,
τὸ πνεῦμα δέ σου τὸ σεπτὸν μή μου λοιπὸν ἐξέλῃς.
τοῦ σωτηρίου σου λαμπρῶς ἀπόδος μοι τὴν τέρψιν
καὶ πνεύματί με στήριξον ἡγεμονεύοντί μου. ‖[107r]
διδάξω πάσας καθαρῶς ἀνόμους τὰς ὁδούς σου
καὶ πάντες ὅσοι δυσσεβεῖς ἀνθυποστρέψουσί σοι.
αἱμάτων ῥῦσαι με, θεέ καὶ μόνε παντοκράτορ·
ἡ γλῶσσα μου τερφθήσεται σοῦ τῇ δικαιοσύνῃ,
ἀνοίξεις δὴ τὰ χείλη μου σιγῶντα φιλανθρώπως
καὶ σοῦ τὴν αἴνεσιν εὐθὺς λαλήσει μου τὸ στόμα.
δέδωκα δ’ ἄν, εἰ παρ’ ἐμοῦ τεθέληκας θυσίαν,
ἀλλ’ ἐν ὁλοκαυτώμασι δυσαρεστεῖς ἐμψύχων.
θυσία δὲ τῷ παντουργῷ πνεῦμα συντετριμμένον,
συντετριμμένην δὲ ψυχὴν ἐξουδενοῦν οὐ θέλει.
σὺ τὴν Σιὼν ἀγάθυνον ὁ κτίστης εὐδοκήσας,
τῆς δὲ Σαλὴμ τῆς ἱερᾶς τὰ τείχη στηριχθήτω·
θέμιδος δὲ προσαγωγὴν θῦμα κρινεῖς οὐ φαῦλον
καὶ τότε προσκομίσουσι μόσχους ἐν τῷ ναῷ σου.

## 69 – Εἰς τὸ τέλος τῷ Δαυὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαι με, κύριε

Εἰς τὴν ἐμὴν βοήθειαν ὁ παντοκράτωρ πρόσχες
καὶ σπεῦσον βοηθῆσαι μοι τῷ καταπονουμένῳ.
οἱ τὴν ψυχὴν ζητοῦντες μου πληρούσθωσαν αἰσχύνης,
ἀποστραφήτωσαν οἰκτρῶς εἰς τὴν κατόπιν τρίβον

**69** V (f. 107r) L (f. 173v) D (f. 215r)

**50.14** χιόνος] χιόνας Vat **50.18** κηλίδων] κυλίδων Vat **50.23** ἡγεμονεύοντί μου] ἡγεμονέβοντι Vat **50.29** λαλήσει] λαλείσει Vat **50.31** ὁλοκαυτώμασι] ὁλοκαυτώμασι Vat **50.34–35** invertit, sed in marg. correxit D **50.34** κτίστης] κτήστης Vat **69 tit.** ὁ θεὸς εἰς τὴν βοήθειάν μου add. LD : Mi.Ps. *Poem.* 1.205–207 (ed. Westerink) in marg. ext. D (vid. app. 1)

[2]καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά,
4 ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι Εὖγε εὖγε.
5 ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε,
καὶ λεγέτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.
6 ἐγὼ δὲ πτωχὸς καὶ πένης· ¦
[1]ὁ θεός, βοήθησόν μοι.
βοηθός μου καὶ ῥύστης μου εἶ σύ· κύριε, μὴ χρονίσῃς.

**LXVI – Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς ᾠδῆς <τῷ Δαυίδ>**

2 Ὁ θεὸς οἰκτιρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς,
ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ’ ἡμᾶς <καὶ ἐλεήσαι ἡμᾶς>
3 [διάψαλμα] τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου,
ἐν πᾶσιν ἔθνεσιν τὸ σωτήριόν σου.
4 ἐξομολογησάσθωσάν σοι λαοί, ὁ θεός,
ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
5 εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη,
ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι
καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.
6 [διάψαλμα] ἐξομολογησάσθωσάν σοι λαοί, ὁ θεός, […]
7 γῆ ἔδωκεν τὸν καρπὸν αὐτῆς·
εὐλογήσαι ἡμᾶς ὁ θεὸς ὁ θεὸς ἡμῶν.
8 εὐλογήσαι ἡμᾶς ὁ θεός,
καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

**CXLIV – Τῷ Δαυὶδ ψαλμός**

Ὑψώσω σε, ὁ θεός μου ὁ βασιλεύς μου,

**69: 6.1** sic divident Sa Sy **66 tit.** τῷ Δαυίδ] add. *L*$^{d}$ (etiam 267) Tht$^{p}$ Vulg **66: 2.2** καί … ἡμᾶς] add. Bo R$^{s}$’’ Ga *L*’’ (etiam 267) 55 **66: 6.2** om. Sa et Philes, sed vid. apparatum H.–P.

καὶ πάντες ἐντραπήτωσαν, οἳ βούλονται κακά μοι.
οἱ δ’ εὖγε δίς μοι λέγοντες στραφήτωσαν εὐθέως
οἱ δὲ ζητοῦντες πάντες σε τερφθήτωσαν ἀρρήτως,
«μεγαλυνθήτω δ’ ἐσαεί» λεγέτωσαν «ὁ κτίστης.»
ἐγὼ δὲ καὶ πτωχὸς εἰμὶ καὶ πένης χρηματίζω,
ὁ δὲ θεός μοι βοηθὸς ὡς ἀντιλήπτωρ γίνου,
ἐπεὶ δὲ σύ μοι βοηθὸς καὶ ῥύστης μὴ χρονίσῃς.

### 66 – Εἰς τέλος ἐν ὕμνοις. ψαλμὸς ᾠδῆς τῷ Δαυίδ

Πάντας ἡμᾶς ὁ πλαστουργὸς οἰκτείρας εὐλογήσαι,
δείξαι τὸ πρόσωπον ἡμῖν πάντων φειδὼ λαμβάνων,
τοῦ γνῶναι καὶ κηρῦξαι σου πάσῃ τῇ γῇ τὴν τρίβον
καὶ πᾶσι τὸ σωτήριον τοῖς ἔθνεσι δηλῶσαι.
ἐξομολογησάσθωσαν, παντάναξ, οἱ λαοί σοι,
ἐξομολογησάσθωσαν, σῶτερ, λαοί σοι πάντες,
ἔθνη σκιρτάτω πανταχοῦ καὶ πανηγυριζέτω·
κρινεῖς γὰρ ἐν εὐθύτητι τοὺς πολυσπόρους δήμους,
ἐν δὲ τῇ γῇ τὰς τῶν ἐθνῶν προσχύσεις ὁδηγήσεις.
ἐξομολογησάσθωσαν λαοί σοι τῷ δεσπότῃ,
γῆ τὸν καρπὸν τὸν ἑαυτῆς ἀνέδωκεν ἀφθόνως.
ἡμᾶς ὁ κτίστης καὶ σωτὴρ ἐξ ὕψους εὐλογήσαι
πάντας ἡμᾶς ἐν οἰκτιρμοῖς εὐσπλάγχνως εὐλογήσαι,
τὰ μέντοι πέρατα τῆς γῆς τὸν κτίστην φοβηθήτω.

### 144 – Αἴνεσις τοῦ Δαυὶδ αἴνεσις εἰς θεὸν κοινὸν καὶ πᾶσιν ἁρμόζουσιν

Ὁ βασιλεύς μου καὶ θεός, ὑψώσω σε δοξάσας,

---

**66** V (f. 107r) L (ff. 173v–174r) D (ff. 213v–214r) **144** V (ff. 107rv) L (ff. 174r–175r) D (ff. 217rv)

---

**69.5** οἵ] γρ. in textu et in marg. ext. γρ. ὅν, sed deinde secundam lectionem delevit V **66 tit.** ὁ θεὸς οἰκτειρῆσαι (sic) ἡμᾶς καὶ εὐλογῆσαι (sic) ἡμᾶς add. LD **66.1** εὐλογήσαι] εὐλογῆσαι LD **66.2** δείξαι] δεῖξαι LD **66.12** εὐλογήσαι] εὐλογῆσαι LD **66.13** s.l. V : om. LD **66.14** τά] τὸ LD **144 tit.** Ps. 44 tit. εἰς τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ errate scripsit, deinde del. et in marg. corr. V : αἴνεσις τῷ Δαυὶδ εἰς θεὸν κοινὸν καὶ πᾶσιν ἁρμόζουσιν et in marg. ὑψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου L : αἴνεσις τῷ Δαυὶδ ὑψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου D

καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
2 καθ’ ἑκάστην ἡμέραν εὐλογήσω σε
καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
3 μέγας κύριος καὶ αἰνετὸς σφόδρα,
καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας.
4 γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου
καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσιν.
5 τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσιν
καὶ τὰ θαυμάσιά σου διηγήσονται.
6 καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσιν
καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.
7 μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται
καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.
8 οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος.
9 χρηστὸς κύριος τοῖς σύμπασιν,
καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.
10 ἐξομολογησάσθωσάν σοι, κύριε, πάντα τὰ ἔργα σου,
καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.
11 δόξαν τῆς βασιλείας σου ἐροῦσιν
καὶ τὴν δυναστείαν σου λαλήσουσιν
12 τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου
καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.
13 ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων,
καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
14 πιστὸς κύριος ἐν τοῖς λόγοις αὐτοῦ
καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
15 ὑποστηρίζει κύριος πάντας τοὺς καταπίπτοντας
καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.
16 οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν,
καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.
17 ἀνοίγεις σὺ τὴν χεῖρά σου / [2]καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.
18 δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ
καὶ ὅσιος ἐν πᾶσιν τοῖς ἔργοις αὐτοῦ.
19 ἐγγὺς κύριος πᾶσιν τοῖς ἐπικαλουμένοις αὐτόν,
πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

**144: 17.1–2** duo stichi Ga (ergo Rahlfs), sed unus rel. codd. (ergo H.–P.)

κλῆσιν δὲ σὴν εἰς ἅπαντας αἰῶνας εὐλογήσω.
ἑκάστης ἀνυμνήσω σε τὸν πλαστουργὸν ἡμέρας,
τοὔνομα δὲ κροτήσω σου μέχρι παντὸς αἰῶνος,
μέγας ἐστὶν ὁ κύριος ὡς αἰνετὸς ἐκτόπως·
οὐκ ἔστι γὰρ τῆς ἐν αὐτῷ μεγαλωσύνης πέρας.
γένος καὶ γένος ἐπὶ γῆς αἰνέσει σου τὰς πράξεις
καὶ πάντες σου τὴν δύναμιν ἐροῦσι πρὸς ἀλλήλους
καὶ τὴν μεγαλοπρέπειαν λαλήσουσι τῆς δόξης
καὶ πάντα τὰ θαυμάσια περικροτήσουσί σου,
καὶ τὴν ἰσχὺν τῶν φοβερῶν κηρύξουσι πρακτέων
καὶ τὴν μεγαλωσύνην σου τρανώσουσι τῇ κτίσει
καὶ μνήμην ἐξερεύξονται τοῦ τῶν καλῶν σου πλήθους
καὶ τῇ δικαιοσύνῃ σου τερφθήσονται καθάπαξ.
οἰκτίρμων σύ, φιλάνθρωπε, καὶ συμπαθὴς τὴν φύσιν, ‖[107v]
ἀλλὰ καὶ πολυέλεος ἐπὶ μακροθυμίᾳ.
χρηστὸς ἐστὶν εἰς ἅπαντας ὁ παντοκράτωρ λόγος,
ὁ καὶ τοῖς ἔργοις τῶν χειρῶν τοὺς οἰκτιρμοὺς συλλέγων.
ἐξομολογησάσθω σοι πάντα σου τὰ πρακτέα
καὶ τῶν ὁσίων ἡ πληθὺς εὐλογησάτωσάν σε·
ἐροῦσι μεγαλύνοντες τοῦ κράτους σου τὸ κλέος
καὶ τὸ τῆς δυναστείας σου λαλήσουσιν ἀκμαῖον,
ὥστε γνωρίσαι τοῖς υἱοῖς καὶ τόδε τῶν ἀνθρώπων
καὶ τὴν μεγαλοπρέπειαν καὶ τὸ τοῦ κράτους κλέος.
ἡ βασιλεία σου παντὸς αἰῶνος βασιλεία,
εἰς γενεάν δε σύμπασαν τὴν βασιλείαν ἔχεις.
πιστός ἐστιν ὁ κύριος πᾶσιν αὐτοῦ τοῖς λόγοις,
ἐν δὲ τοῖς ἔργοις ὅσιος ὡς ἀψευδὴς τὴν φύσιν.
ὑποστηρίζει κύριος τοὺς πίπτοντας ἀθρόους,
θᾶττον δὲ πάντας ἀνορθοῖ τοὺς καταβεβλημμένους.
εἰς σὲ τοὺς πάντων ὀφθαλμοὺς ἐλπίζοντας ὁρῶμεν·
σύ γαρ ἑκάστῳ τὴν τροφὴν προσφόρως πρυτανεύεις,
ἀνοίγεις δὲ τὴν χεῖρα σου πᾶν ἀγαθύνων ζῷον.
δίκαιος ἔστι κύριος πάσαις αὐτοῦ ταῖς τρίβοις,
ἐν δὲ τοῖς ἔργοις ὅσιος, ὧν αὐτουργὸς τυγχάνει.
ἐγγὺς ὁ παντοδύναμος τοῖς ἐπικαλουμένοις,
πᾶσι τοῖς τοῦτο πράττουσι μετὰ τῆς ἀληθείας.

20 θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει
καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς.
21 φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν
καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.
22 αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου,
καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

**X – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ**

Ἐπὶ τῷ κυρίῳ πέποιθα· ¦
[2]πῶς ἐρεῖτε τῇ ψυχῇ μου· / [3]μεταναστεύου ¦
[3]ἐπὶ τὰ ὄρη ὡς στρουθίον;
2 ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον,
ἡτοίμασαν βέλη εἰς φαρέτραν.
τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.
3 ὅτι ἃ κατηρτίσω, <αὐτοὶ> καθεῖλον·
ὁ δὲ δίκαιος τί ἐποίησεν;
4 κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ·
κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσιν,
τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων.
5 κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ,
<…>
ὁ δὲ ἀγαπῶν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.
6 ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας,
πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.
<…>
7 ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν,
εὐθύτητα εἶδεν τὸ πρόσωπον αὐτοῦ.

**10: 3.1** αὐτοί] add. *L''* (etiam 267) *A''* **10: 4.3** ἐπιβλέπουσιν] 1221-2018 *L'* (etiam 267) Ch 55 : ἀποβλέπουσιν B' R Z A, ergo Rahlfs

ποιήσει δὲ τὸ θέλημα τῶν τοῦτον φοβουμένων
καὶ ταύτων ἐπακούσεται σώζων αὐτοὺς ἐν τάχει.
πάντας φυλάσσει κύριος τοὺς τοῦτον δεδοικότας
καὶ πάντας τοὺς ἁμαρτωλοὺς ὀλέσει κατακράτος.
πλὴν αἴνεσιν τὸ στόμα μου λαλήσει τοῦ κυρίου·
πᾶσα δὲ σὰρξ τοῦ πλαστουργοῦ τὴν κλῆσιν εὐλογείτω
εἰς τοὺς αἰῶνας ἅπαντας τῶν ἐφεξῆς αἰώνων.

## 10 – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

Ἐπὶ τῷ κτίστῃ πέποιθα καὶ παντοκράτορί μου·
πῶς, δυσμενεῖς, ἐρεῖτε μοι· «δεῦρο μεταναστεύου
ὥσπερ ἀλγῆσαν πετεινὸν εἰς ἀπανθρώπους λόφους»;
ἰδού γαρ οἱ βασκαίνοντες τόξον ἐντείνουσί σοι
καὶ θήξαντες ἡτοίμασαν τὰ τῆς φαρέτρας βέλη
ἐν σκοτομήνῃ σε δεινῶν βουλόμενοι τοξεῦσαι·
τὰ γὰρ καταρτισθέντα σοι πάλιν αὐτοὶ καθεῖλον.
ἀλλ’ ὁ τὴν φύσιν δίκαιος τί πεπραχὼς εὑρέθη;
ὃς ἐν ναῷ τῷ κατ’ αὐτὸν οἰκήσας ἡγνισμένῳ
ἐν οὐρανῷ κατέπηξε τὸν θρόνον τὸν οἰκεῖον,
εἶδεν αὐτοῦ τὸν πένητα συνήθως ἐπιβλέψας,
τοὺς δυσμενεῖς ἐξήτασε τῇ τῶν βλεφάρων τάσει,
ἐξήτασε τὸν δίκαιον καὶ τὸν ὑπεναντίον
καὶ δέδειχε τοῖς πράγμασι τῆς κυρωθείσης πείρας,
ὡς τὴν ψυχὴν ἀπόλλυσιν ὁ θέλων ἀδικίαν·
ἐπὶ γὰρ τοὺς ἀγνώμονας παγίδας ἐπιβρέχει,
ὧν πῦρ καὶ θεῖον ἡ μερὶς καὶ πνεῦμα καταιγίδος,
ὅταν τὸ κόνδυ τῆς ὀργῆς κεράσῃ τοῖς ἐκφύλοις·
δίκαιος γὰρ ὁ κύριος δικαιοσύναις χαίρων,
οὗ δέδορκε τὸ πρόσωπον εὐθύτητας ἀνθρώπων.

**10** V (f. 107v) L (ff. 175rv) D (f. 199v)

**10 tit.** ἐπὶ τῷ κυρίῳ πέποιθα πῶς ἐρεῖται τῇ add. LD **10.4** ἐντείνουσι] ἐκτείνουσι D **10.6** δεινῶν] fort. recte δεινῶς V

## XI – Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ

2 Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος,
ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων.
3 μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ,
χείλη δόλια ἐν καρδίᾳ ¦
[2]καὶ ἐν καρδίᾳ ἐλάλησεν <κακά>.
4 ἐξολοθρεῦσαι κύριος πάντα τὰ χείλη τὰ δόλια
καὶ γλῶσσαν μεγαλορήμονα
5 τοὺς εἰπόντας Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν,
τὰ χείλη ἡμῶν παρ’ ἡμῶν ἐστιν· / [2]τίς ἡμῶν κύριός ἐστιν;
6 ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν
καὶ τοῦ στεναγμοῦ τῶν πενήτων
νῦν ἀναστήσομαι, λέγει κύριος,
θήσομαι ἐν σωτηρίᾳ, παρρησιάσομαι ἐν αὐτῷ.
7 τὰ λόγια κυρίου λόγια ἁγνά,
ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ
κεκαθαρισμένον ἑπταπλασίως.
8 σύ, κύριε, φυλάξεις ἡμᾶς / [2]καὶ διατηρήσεις ἡμᾶς ¦
ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.
9 κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν·
κατὰ τὸ ὕψος σου ¦
[2]ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

## XII – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

2 Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος;
ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ;
3 ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου,
ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;
ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ’ ἐμέ;
4 ἐπίβλεψον, εἰσάκουσόν μου, κύριε ὁ θεός μου·

---

**11: 3.1–2** καὶ … ἐλάλησαν ] sic dividit Sa$^{L}$ **11: 3.2** ἐλάλησεν ] U’–1221–2018 *L′*, ἐλάλησε 267 : ἐλάλησαν Sa La$^{G}$ Ga, ergo Rahlfs κακά ] R’’ *L’’* (etiam 267) **11: 4.1** ἐξολοθρεῦσαι ] *L′* : ἐξολεθρεῦσαι Rahlfs **11: 5.2–3** sic Sy : 5.3+2, sed etiam 6.1+2 praebent Ga 267 **11: 6.1–2** ἕνεκεν τῆς … καὶ τοῦ ] U$^{(vid.)}$’ R’’ Ga *L’’* (etiam 267) : ἕνεκα 1221 : ἀπὸ τῆς … καὶ ἀπὸ τοῦ B′ A Clem.Alex., ergo Rahlfs **11: 8.1–2** sic dividunt R’’ Ga Sy A’ necnon 267 **12: 3.2** καὶ νυκτός ] *L’’* (etiam 267) A’

**11 – Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ**

Ἐκλελοιπότος τοῦ καλοῦ σῶζε με, παντοκράτορ·
τὸ γὰρ ἀδόλως ἀληθὲς ὀλίγον παρ' ἀνθρώποις,
ἐπεὶ λαλοῦσιν ἕκαστοι πρὸς τὸν πλησίον μάτην
καὶ ταῖς καρδίαις ἔχουσιν ἑπόμενα τὰ χείλη
τὰ μηδαμοῦ καθήκοντα λαλοῦντες ἐν καρδίαις.
ἀλλὰ τὰ χείλη τὰ ψευδῆ πάντα συγκόψας φθείρῃς
καὶ γλῶσσαν πᾶσαν δολερὰν μεγαλορρημονοῦσαν,
ὅτι φασί· «πλατύνωμεν τὸ στόμα καὶ τὴν γλῶσσαν,
ἐπεὶ τὰ χείλη παρ' ἡμῶν· τίς γὰρ ἡμῶν δεσπόζει;» ‖108r
σύ δ' «ἀλλ' ἐξαναστήσομαι», δέσποτα πάντων, λέγεις,
«ἕνεκεν ταύτης τῶν πτωχῶν τῆς κακοδαιμονίας
καὶ τοῦ μεγάλου στεναγμοῦ τῶν παρ' ἐμοὶ πενήτων
καὶ σώσω τούτους τῇ πολλῇ τοῦ κράτους παρρησίᾳ.»
καὶ ταῦτα σου τὰ ῥήματα κεκαθαρμένοι λόγοι,
πεπυρωμένος ἄργυρος δοκιμασθεὶς ἐν χώνῃ
καὶ τιμαλφὴς ἀναφανεὶς τῇ πολλαπλῇ πυρώσει.
οὐκοῦν φυλάξαις μόνος με καὶ μόνος με τηρήσαις
ἐκ τῆς παρούσης γενεᾶς ἄχρι τῆς τελευταίας·
οἱ γὰρ τὸν τρόπον ἀσεβεῖς περιπατοῦσι κύκλῳ.
σύ δε κατὰ τὸ μέγεθος τῆς ἀγαθότητός σου
σοφῶς ἐπολυώρησας τοὺς τῶν ἀνθρώπων τόκους.

**12 – Εἰς τὸ τέλος. ψαλμὸς τῷ Δαυίδ**

Ὦ μέχρι τίνος μου, σωτὴρ, εἰς τέλος ἐπιλήσῃ;
καὶ μέχρι τίνος ἀπ' ἐμοῦ τὰς ὄψεις ἀποστρέφεις;
ἕως δὲ τίνος θήσομαι βουλὰς ἐν τῇ ψυχῇ μου,
ὀδύνας ἐν καρδίᾳ μου νύκτωρ καὶ μεθημέραν;
μέχρι δὲ τίνος τὸν ἐχθρὸν ὑψούμενον ἀθρήσω;
ἐπίβλεψον, εἰσάκουσον καὶ τούτων μου τῶν λόγων,

**11** V (ff. 107v–108r) L (ff. 175v–176r) D (ff. 199v–200r) **12** V (f. 108r) L (f. 176r) D (f. 200r)

**11 tit.** σῶσον με κύριε ὅτι ἐκλέλοιπεν ὅσιος add. L : σῶσον με κύριε ὅτι ἐκλέλοιπεν D **12 tit.** ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος add. LD

φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον,
5 μήποτε εἴπῃ ὁ ἐχθρός μου Ἴσχυσα πρὸς αὐτόν·
οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ.
6 ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα,
ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου·
ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με
καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

## XIII – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν θεός·
διέφθειραν καὶ ἐβδελύχθησαν ¦
[3]ἐν ἐπιτηδεύμασιν,
οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.
2 κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων
τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν θεόν.
3 πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν,
οὐκ ἔστιν ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. […]
4 οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν;
οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου ¦
[2]τὸν κύριον οὐκ ἐπεκαλέσαντο.
5 ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος,
ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίᾳ.
6 βουλὴν πτωχοῦ κατῃσχύνατε, / [2]ὁ δὲ κύριος ἐλπὶς αὐτοῦ ἐστιν.
7 τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;
ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ
ἀγαλλιάσθω Ἰακὼβ καὶ εὐφρανθήτω Ἰσραήλ.

## XIV – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου

**13: 3.3–10** (ed. Rahlfs) ex Rom. 3: 13–18, ergo hic omissi **13: 4.2** τόν … ἐπεκαλέσαντο] R’’ Ga Sy A’ (hic signum interrogationis post ἄρτου, non post ἀνομίαν est) **13: 6.2** ὁ δὲ κύριος] U’ *L*’’ (etiam 267) 55 : ὅτι κύριος rel. codd. **14 tit.** εἰς τὸ τέλος] add. $La^{G}$ $L^{a}$’ (etiam 267)

φωτίσας μου τὰ βλέφαρα μὴ πρὸς φθορὰν ὑπνώσω,
μὴ κομπάσῃ κατ’ ἐμοῦ τὸ δυσμενὲς ἰσχῦσαν.
καὶ τοῦτο μέν, ἂν σαλευθῶ, χαιρήσει παραυτίκα,
ἐγὼ δ’ ἀρρήτως ἐλπιῶ καὶ πρότερον ἐλπίσας·
καὶ σύ μου τέρψεις τὴν ψυχὴν ἐπὶ τῷ σωτηρίῳ
κἀγὼ τὸν εὐεργέτην σε δοξάσω καὶ δεσπότην,
τὴν κλῆσιν, ὕψιστε, τὴν σὴν ὡς ἐφικτὸν σεμνύνων.

## 13 – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ

Ἔφη τις ἄφρων καθ’ αὐτὸν οὐκ εἶναι σε, παντάναξ·
οἱ γὰρ κακοὶ πρὸς τὴν φθορὰν ὡς μισητοὶ φοιτῶσι
ἐν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς ἀδολεσχίαις.
οὐκ ἔστιν ὁ χρηστότητος ἀναλαμβάνων τρόπους.
εἶδες αὐτὸς τοὺς γηγενεῖς ἐκκύψας οὐρανόθεν,
εἴπου τις ἔστι συνιὼν ζητῶν σε τὸν δεσπότην,
ἀλλ’ ἅπαντες ἐξέκλιναν συλλήβδην φαυλισθέντες·
οὐκ ἔστιν ὅλως τις χρηστὸς ἄχρις ἑνὸς ἀνθρώπου.
ἆρ’ οὖν οὐκ ἀνανήψουσιν οἱ τῶν κακῶν ἐργάται
καὶ γὰρ οἱ κατεσθίοντες ὡς ἄρτον μου τὸν κλῆρον
οὐδ’ ὡς τὸν πάντων ἔφορον ἐπεκαλέσαντό σε;
ἀλλὰ δεδειλιάκασιν, οὗπερ οὐκ ἦν τις φόβος,
ὅτι σὺ πάντως ἀρωγὸς τοῦ τῶν δικαίων γένους.
βουλὴν αἰσχύνουσι πτωχοῦ, σὺ δὲ θαρρύνεις τοῦτον.
τίς ἐκ Σιὼν βραβεύσει μου τῷ κράτει σωτηρίαν;
ἡνίκα δ’ ἐπιστρέψῃς μοι καὶ τὴν αἰχμαλωσίαν,
σκιρτήσω σοι γηθόμενος τὸν νοῦν καὶ τὴν καρδίαν.

## 14 – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ

Τίς ἐν τῷ σῷ σκηνώματι, παντάναξ, παροικήσει

**13** V (f. 108r) L (ff. 176rv) D (f. 200r) **14** V (f. 108r) L (ff. 176v–177r) D (f. 200r)

**12.8** una syllaba deest **13 tit.** εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ add. L : εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ LD **13.3** τοῖς] ταῖς D **13.11** ὡς] ὦ LD **14 tit.** κύριε τίς παροικήσει ἐν τῷ σκηνώματί σου add. LD **14.1** σῷ] om. V

καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;
2 πορευόμενος ἄμωμος ¦
[1]καὶ ἐργαζόμενος δικαιοσύνην,
λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ,
3 ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ
οὐδὲ ἐποίησεν τῷ πλησίον αὐτοῦ κακὸν
καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ·
4 ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος,
τοὺς δὲ φοβουμένους κύριον δοξάζει·
ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν·
5 τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ
καὶ δῶρα ἐπ’ ἀθῴοις οὐκ ἔλαβεν.
ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

**XV – Στηλογραφία τῷ Δαυίδ**

Φύλαξόν με, κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.
2 εἶπα τῷ κυρίῳ Κύριός μου εἶ σύ,
ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.
3 τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσας πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
4 ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν,
μετὰ ταῦτα ἐτάχυναν·
οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων
οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου.
5 κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου·
σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.
<…>
6 σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις μου·
καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.
7 εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με·
ἔτι δὲ καὶ ἕως νυκτὸς ¦
[2]ἐπαίδευσάν με οἱ νεφροί μου.

---

**15: 3.2** ἐθαυμάστωσας] Sy : ἐθαυμάστωσε(ν) rel. codd., ergo Rahlfs αὐτοῦ] cfr. σου Sy necnon μου in apparatu H.–P. **15: 4.1** αὐτοῦ] cfr. add. ἐν αὐτοῖς U **15: 6.1** ἐπέπεσόν μοι] $L^{pau}$, ἐπέπεσάν μοι B U R A’ (ergo Rahlfs) : ἐπέπεσεν *L′* (etiam 267) μου] *L′* (etiam 267)

ἢ τίς ἐν ὄρει καθαρῷ τῷ σῷ κατασκηνώσει;
πάντως ὁ πορευόμενος μώμου παντὸς βελτίων
καὶ πᾶσαν ἐργαζόμενος ἐν σοὶ δικαιοσύνην
καὶ τἀληθῆ φθεγγόμενος ἐν ὅλῃ τῇ καρδίᾳ
καὶ ψεύδους ἀνεπίδεκτον τὴν γλῶσσαν περιφέρων,
ὃς οὐδ' εἰργάσατο κακὸν τῷ πέλας μετὰ δόλου
καὶ τόνδε τὸν ὀνειδισμὸν ὑπ' οὐδενὸς εἰλήφει.
ἀλλ' ἅπας ἐξουδένωται κακοῦργος παρὰ τούτου·
καὶ γὰρ τοὺς φοβουμένους σε δοξάζεις καὶ λαμπρύνεις
τὸν εὐορκοῦντα καθορῶν, τὸν δ' ἄλλον παραβλέπων,
ὃς ἐπαινεῖς τὸν δανειστήν, εἰ μὴ λαμβάνοι τόκους,
ὡς τὸν μὴ δὲ λαμβάνοντα πᾶν ἐπ' ἀθῴοις δῶρον·
τὸν γὰρ ἐν τούτοις ἀγαθὸν οὐ περιτρέψει χρόνος.

## 15 – Στηλογραφία τῷ Δαυίδ ‖108v

Φύλαξον δή με, δέσποτα, τὸν ἐπελπίσαντά σοι·
φημὶ γὰρ εἶναι σε θεόν, ὃν εὐεργέτην ἔχω,
καίπερ οὐδόλως ἔχοντα τῶν ἀγαθῶν μου χρείαν·
ὃς τοῖς ἁγίοις ἅπασι τοῖς ἐν τῇ γῇ, παντάναξ,
ἁπάσας ἐθαυμάστωσας τὰς παρὰ σοὶ θελήσεις.
τοῖς δὲ παραπικράνασιν ἦλθον αἱ νόσοι χύδην,
ὡς ὑπ' αὐτῶν καὶ παρελθεῖν μετὰ πολλοῦ τοῦ τάχους.
ὧν οὐδὲ τὰ συντάγματα συλλέξεις ἀφ' αἱμάτων,
οὐδὲ τοῖς χείλεσι τοῖς σοῖς ὀνομαστὶ μνησθήσῃ.
σὺ δὲ μερὶς τοῦ κλήρου μου, σὺ καὶ τοῦ ποτηρίου,
ἐπείπερ μοι κατέστησας καὶ τὴν κληρονομίαν
καὶ ταύτῃ δέδωκας ἐμὲ τῷ θρόνῳ καθιδρύσας·
σχοινία γὰρ ἐπέπεσον ἐν τοῖς ἐμοῖς κρατίστοις,
κρατίστης βραβευθείσης μοι καὶ τῆς κληρονομίας.
οὐκοῦν ἐπευλογήσω σε τὸν συνετίσαντά με,
ὡς ἐν ἡμέραις καὶ νυξὶν ὁπλίζομαι πολλάκις
καὶ τακτικῶς μοι τοὺς νεφροὺς παιδεύουσιν οἱ πόνοι·

---

**15** V (f. 108v) L (ff. 177rv) D (ff. 200rv)

---

**15 tit.** φύλαξόν με κύριε ὅτι ἐπὶ σοὶ ἤλπισα add. LD : Mi.Ps. *Poem.* 1.61–65 (ed. Westerink) in marg. ext. f. 200r D (vid. app. 1) **15.5** παρὰ σοί] παρασοὶ L

8 προωρώμην τὸν κύριον ἐνώπιόν μου ¦
[1]διὰ παντὸς / [2]ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.
9 διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου,
καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου,
ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ’ ἐλπίδι,
10 ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην
οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
11 ἐγνώρισάς μοι ὁδοὺς ζωῆς·
πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου,
τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

## XVI – Προσευχὴ τῷ Δαυίδ. ψαλμός

Εἰσάκουσον, κύριε, τῆς δικαιοσύνης μου, / πρόσχες τῇ δεήσει μου,
ἐνώτισαι τῆς προσευχῆς μου οὐκ ἐν χείλεσιν δολίοις.
2 ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι,
οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας.
3 ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός·
ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
4 ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων,
διὰ τοὺς λόγους τῶν χειλέων σου ¦
[2]ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. / **5** κατάρτισαι τὰ διαβήματά μου ¦
[1]ἐν ταῖς τρίβοις σου, / [2]ἵνα μὴ σαλευθῶσιν τὰ διαβήματά μου.
6 ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ θεός·
κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου.
7 θαυμάστωσον τὰ ἐλέη σου,
ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ
ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου.
8 φύλαξόν με κύριε ¦
[1]ὡς κόρην ὀφθαλμοῦ·
ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με
9 ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.
οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον·

---

**16: 3.1** ἐπεσκέψω] praemittunt καί U R'' Vulg. **16: 3.2** οὐχ εὑρέθη … ἀδικία] οὐχ εὗρες … ἀδικίαν U (Bo Sa?) et in apparatu H.–P. **16: 8.1** κύριε] add. Bo La$^{G}$ Aug *L''* (etiam 267) Su **16: 8.1** κόρην] U R *L'* A' : κόραν B', ergo Rahlfs

ἔχω σε γὰρ ὑπέρμαχον πρὸ τῶν ἐμῶν ὀμμάτων,
διαπαντὸς ἐκ δεξιῶν ἑστῶτα μὴ προσπταίσω.
καὶ τούτου χάριν ἐξαρχῆς ηὐφράνθην τὴν καρδίαν
καὶ τούτου χάριν ὕμνησεν ἡ γλῶσσα μου τερφθεῖσα
ἐπὶ μεγάλαις τῆς σαρκὸς ἐλπίσι φρουρουμένης·
οὐ γὰρ ἐγκαταλείψεις με καταπεσεῖν εἰς ᾅδην,
ἀλλ’ οὐδὲ δώσεις με τὸν σὸν εἰς συντριβὴν ἐσχάτην.
τίς τὰς ὁδούς μου τῆς ζωῆς ἰθύνων πολυτρόπως;
ὁ μετὰ τοῦ προσώπου σου πληρώσας εὐφροσύνης·
ἀλήκτου γὰρ τερπνότητος ἡ δεξιά σου πλήρης.

## 16 – Προσευχὴ τῷ Δαυίδ. ψαλμός

Εἰσάκουσον τῆς δίκης μου καὶ πρόσχες τῇ δεήσει,
ἐνώτισαι τῆς προσευχῆς οὐκ ἐν χειλέων δόλῳ,
ἐξέλθοι τοῦ προσώπου σου τὰ παραπτώματά μου,
ἰδέτωσαν εὐθύτητα πᾶσαν τὰ βλέφαρά μου.
νυκτός γαρ ἐπεσκέψω με πειράσας τὴν καρδίαν,
ἐπύρωσας καὶ μολυσμὸν οὐχ εὗρες ἀδικίας.
πλὴν οὐ λαλεῖ τὸ στόμα μου τὰς πράξεις τῶν ἀνθρώπων·
οἱ σοί γαρ λόγοι τὴν σιγὴν ἐνταῦθα προτιμῶσιν.
ὁδοὺς ἐφύλαξα σκληρὰς καὶ σύ με κατηρτίσω,
δείξας τὰς τρίβους μοι τὰς σὰς μὴ σαλευθῶ τὰς βάσεις.
ἐγὼ καὶ πρὶν ἐκέκραξα καὶ πρὶν ἐπήκουσάς μου,
καὶ πάλιν οὖς μοι κεκλικώς εἰσάκουσον τῶν λόγων
καὶ πάλιν σου θαυμάστωσον τοὺς οἰκτιρμοὺς τῷ κράτει
ὁ σώζων τοὺς ἐλπίζοντας εἰς τὴν χρηστότητά σου
ἐκ τῶν ἀνθεστηκότων σου τῇ τῆς χειρὸς ἰσχύι.
ναί, φύλαξον τὸν δοῦλον σου, ναί, σῶτερ παντοκράτορ,
καθάπερ κόρην ὀφθαλμοῦ τὴν πίστιν μὴ φαυλίσας
καὶ σκέπασον ταῖς πτέρυξι τῆς ἀγαθότητός σου
ἀπὸ προσώπου δυσμενῶν τῶν ταλαιπωρησάντων.
οἱ γὰρ ἐχθροί μου τὴν ψυχὴν ταῖς μάχαις περισχόντες

**16** V (ff. 108v–109r) L (ff. 177v–178r) D (f. 200v)

**15.24** ἀλλ’] delevit L **15.25** τίς] ττίς D **15.27** γάρ] δὲ D **16 tit.** εἰσάκουσον κύριε δικαιοσύνης μου add. LD

10 τὸ στέαρ αὐτῶν συνέκλεισαν,
τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν.
11 ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με,
τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.
12 ὑπέλαβόν με ὡς λέων ἕτοιμος εἰς θήραν
καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.
13 ἀνάστηθι, κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς,
ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς / [3]ῥομφαίας ¦
[3]ἀπὸ ἐχθρῶν τῆς χειρός σου.
14 κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς / [2]διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.
καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν,
ἐχορτάσθησαν υἱῶν
καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.
15 ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου,
χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου.

**XVII – Εἰς τὸ τέλος· τῷ παιδὶ κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησεν τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαοὺλ, 2 καὶ εἶπεν**

Ἀγαπήσω σε, κύριε ἡ ἰσχύς μου.
3 κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου,
ὁ θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ’ αὐτόν,
ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου, ἀντιλήπτωρ μου.
4 αἰνῶν ἐπικαλέσομαι κύριον
καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.
5 περιέσχον με ὠδῖνες θανάτου,
καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με
6 ὠδῖνες ᾅδου περιεκύκλωσάν με,
προέφθασάν με παγίδες θανάτου.
7 καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον

**16: 12.1** ὡς] S, ὡσεὶ rel. codd., ergo Rahlfs **16: 13.2** ῥομφαίας] $L^{b\ vel\ d}$ $S^{c}$, ῥομφαίαν ἐχθρῶν ἀπὸ τῆς χειρός σου U’ et Psalt. Rom. : ῥομφαίᾳ $L^{d}$’ $R^{c}$ : rel. codd. ῥομφαίαν, ergo Rahlfs **16: 14.1–2** unus stichus R′ Ga Sy **17: 3.3** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs

τὸ παρ’ αὐτοῖς συνέκλεισαν ἐνηνεγμένον στέαρ,
τὸ σφῶν δε στόμα δυσηχεῖς ἐλάλησε καυχήσεις.
οἵ τῆς ἀρχῆς ἐκβάλλοντες ἐκύκλουν με συστάδην
καὶ πᾶσαν ἔθεντο σπουδὴν εἰς γῆν με κατασπάσαι.
ὑπέλαβον ὡς λέων με τεθαρρηκὼς εἰς θήραν
καὶ σκύμνος ὑπερχόμενος τοὺς ἀποκρύφους τόπους.
ἀνέστης δ’ οὖν καὶ προύφθασας ὑποσκελίσας τούτους
καὶ τὴν ψυχήν μου παρευθὺς ἐρρύσω τῆς ῥομφαίας ‖[109r]
καὶ τῆς χειρός σου τῶν ἐχθρῶν ὑπέρτερον εἰργάσω·
σκόρπισον οὖν τοὺς πονηροὺς εἰς τὸν ἐνταῦθα βίον·
καὶ γὰρ τῶν κεκρυμμένων σου πλήρης γαστὴρ ἡ τούτων
καὶ χορτασθέντες τῶν υἱῶν τῶν τῆς αἰσχροκερδείας,
ἀφῆκαν τὰ κατάλοιπα τοῖς ὡς αὐτοὶ νηπίοις.
ἐγώ δε τῷ προσώπῳ σου πάλιν ὀφθεὶς ὑμνήσω
καὶ χορτασθήσομαι τῆς σῆς τετυχηκὼς εὐκλείας.

Δόξα. Κάθισμα β′

**17 – Εἰς τὸ τέλος· τῷ παιδὶ κυρίου τῷ Δαυίδ, ἃ ἐλάλησεν τῷ κυρίῳ τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ, ᾗ ἐρρύσατο αὐτὸν ὁ κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ χειρὸς Σαοὺλ καὶ εἶπεν·**

Σὲ τὸν σωτῆρα τὸν ἐμὸν ἐκθύμως ἀγαπήσω,
ὅτι κρηπίς μοι καὶ φρουρὸς καὶ ῥύστης ἐγεγόνεις
καὶ βοηθὸς τετελεκὼς τὰς τῆς ψυχῆς ἐλπίδας
ὑπερασπίζων μου λαμπρῶς ὡς κέρας σωτηρίας.
καὶ νῦν ἐπικαλέσομαι τὸν παντοκράτορά μου,
καὶ τῶν ἐχθρῶν σωθήσομαι τῶν ἐπιτιθεμένων·
ἡνίκα γὰρ ὠδῖνες με θανάτου περιέσχον
καὶ βασκανίας χείμαρροι ταράσσοντες ἐκύκων
καὶ πάλιν ᾄδου καὶ φθορᾶς ἐκύκλουν περιστάσεις
καὶ προύφθασαν παραβραχὺ θανάτου με παγίδες.
ἐγώ δ’ ἐπεκαλούμην σε τὸν ἀντιλήπτορά μου

**17** V (ff. 109r–110r) L (ff. 178r–180v) D (ff. 200r–201v)

**16.25** τῆς ἀρχῆς] τὴν ἀρχήν D **16.26** σκύμνος] σκῆμνος D **16.32** υἱῶν] recte corr. LD, ὑῶν V **17 tit.** add. in marg. sup. V : Mi.Ps. *Poem.* 1.66–68 (ed. Westerink) in marg. inf. f. 200v add. D (vid. app. 1) **17 tit.** τῷ κυρίῳ] τοὺς λόγους post κυρίῳ add. LD **tit.** καὶ εἶπεν] V : om. LD et add. ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου

καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα·
ἤκουσεν […] φωνῆς μου, / [4]καὶ ἡ κραυγή μου […] εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.
8 καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ,
καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν
καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός.
9 ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ,
καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ κατεφλόγισεν,
ἄνθρακες ἀνήφθησαν ἀπ’ αὐτοῦ.
10 καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη,
καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ.
11 καὶ ἐπέβη ἐπὶ Χερουβὶν καὶ ἐπετάσθη,
ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.
12 καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ·
κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ,
σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.
13 ἀπὸ τῆς τηλαυγήσεως ¦
[1]ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον,
χάλαζα καὶ ἄνθρακες πυρός.
14 καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ κύριος, / [2]καὶ ὁ ὕψιστος ἔδωκεν φωνὴν αὐτοῦ·
15 καὶ ἐξαπέστειλεν βέλη καὶ ἐσκόρπισεν αὐτοὺς
καὶ ἀστραπὰς ἐπλήθυνεν καὶ συνετάραξεν αὐτούς.
16 καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων,
καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης
ἀπὸ ἐπιτιμήσεώς σου, κύριε,
ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.
17 ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέν με,
προσελάβετό με ἐξ ὑδάτων πολλῶν.
18 ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν
καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ.
19 προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου,
καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου
20 καὶ ἐξήγαγέν με εἰς πλατυσμόν, / [2]ῥύσεταί με., ¦
[2]ὅτι ἠθέλησέν με.
[…]
21 καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου
καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι,

**17: 7.3–4** 7.3 ἐκ ναοῦ ἁγίου αὐτοῦ et 4 ἐνώπιον αὐτοῦ om. Philes brevitatis causa **17: 20.3–4** (ed. Rahlfs) om., in Rahlfs ex B’ U’ R’’

καὶ πρὸς τὸν ὄντως μου θεὸν ἀρρήτως ὑπεφώνουν·
ἤκουσες σύ μου τῆς κραυγῆς οὖς εὐμενὲς ὑπέχων
ὡς σαλευθῆναι καὶ τὴν γῆν καὶ κλονηθῆναι τρόμῳ
καὶ ταραχθῆναι παρὰ σοῦ τὰς τῶν ὀρέων βάσεις
καὶ μεταβῆναι τοῦ σταθμοῦ· σύ γαρ αὐτοῖς ὠργίσθης.
ἀνέβη δέ τις καὶ καπνὸς τῇ τοῦ θυμοῦ σου βίᾳ
καὶ πῦρ ἀπὸ προσώπου σου πάντα μικροῦ συμφλέγον,
ἀφ’ οὗ καὶ πλήθη σωρηδὸν ἀνήφθησαν ἀνθράκων.
ἔκλινας γὰρ τοὺς οὐρανοὺς ἀρρήτως καὶ κατέβης
γνόφον τινὰ δυστέκμαρτον ὑπὸ τοὺς πόδας φέρων.
ἐπέβης δὲ τῶν Χερουβὶμ καὶ πετασθεὶς ὑψώθης
ὡς καὶ πτερῶν ταχύτερος ἀνέμων ὀξυδρόμων.
ἀποκρυφήν δε ζοφερὰν ὑπέθου τῇ καθόδῳ
καὶ τὴν σκηνήν σου κύκλῳ σου πανσόφως ἐτεκτήνω
καὶ ταῖς συχναῖς καὶ γνωστικαῖς νεφέλαις τῶν ἀέρων.
ἀπὸ τῆς τηλαυγήσεως ἔκρυψας ὕδωρ ξένον
καὶ πρὸ τῆς ὄψεως τῆς σῆς διῆλθον αἱ νεφέλαι,
μετὰ χαλάζης καὶ πυρὸς ἀνθράκων, παντοκράτορ,
ἐξ οὐρανοῦ δ’ ἐβρόντησας πεφωνηκὼς ὑψόθεν·
καὶ τοὺς ἐχθροὺς ἐσκόρπισας ἐξαπαστείλας βέλη
καὶ συνετάραξας αὐτοὺς τὰς ἀστραπὰς πληθύνας.
καὶ παρευθὺς ἐφάνησαν αἱ φλέβες τῶν ὑδάτων
καὶ τὰ θεμέλια τῆς γῆς ἀνεκαλύφθη τότε
ἐκ τῆς ἐπιτιμήσεως καὶ τῆς πολλῆς ἰσχύος
καὶ τῆς φρικτῆς ἐμπνεύσεως τῆς τοῦ θυμοῦ σου βίας.
ἐξαποστείλας ἔλαβες ἀφ’ ὕψους με τὸν δοῦλον,
ἐκ δὲ πολλῶν με συμπαθῶς ὑδάτων προσελάβου,
καὶ τῶν ἐχθρῶν τῶν δυνατῶν ἐρρύσω φιλανθρώπως,
καὶ πάντων ὡς μισούντων με τῶν ἐπικρατεστέρων,
οἳ δή με προκατέλαβον ἐν τῷ καιρῷ τῆς λύπης.
σὺ δέ με σέσωκας εὐθὺς ὡς ἀντιστήριγμά μου
πρὸς πλατυσμὸν ἐξαγαγὼν καὶ λύσας μοι τὸ θλίβον,
ἐπεί με τὸν ἱκέτην σου τεθεληκὼς ἐφάνης.
γένοιτο δέ μοι τοῦ ψαλμοῦ καὶ τὰ λοιπά σοι λέγειν·
ὡς πρὸς τὴν δίκην τὴν ἐμὴν αὐτὸς ἀνταποδώσεις ‖[109v]
καὶ τὴν καθαρειότητα τὴν ἀπὸ τῶν χειρῶν μου,

**17.16** αὐτοῖς] αὐτός D **17.25** κύκλῳ] κύστω LD ἐτεκτήνω] ἐτηκτείνω D

22 ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου
καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου,
23 ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου,
καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησα ἀπ’ ἐμοῦ.
24 καὶ ἔσομαι ἄμωμος μετ’ αὐτοῦ
καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.
25 καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου
καὶ κατὰ τὴν καθαριότητα· τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.
26 μετὰ ὁσίου ὁσιωθήσῃ / ²καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ
27 καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ
καὶ μετὰ στρεβλοῦ διαστρέψεις.
28 ὅτι σὺ λαὸν ταπεινὸν σώσεις
καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.
29 ὅτι σὺ φωτιεῖς λύχνον μου, κύριε·
ὁ θεός μου, φωτιεῖς τὸ σκότος μου.
30 ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου
καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.
31 ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ,
τὰ λόγια κυρίου πεπυρωμένα,
ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπιζόντων ἐπ’ αὐτόν.
32 ὅτι τίς θεὸς πλὴν τοῦ κυρίου; / ²καὶ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν;
33 ὁ θεὸς ὁ περιζωννύων με δύναμιν
καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου,
34 καταρτιζόμενος τοὺς πόδας μου ὡς ἐλάφου
καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με,
35 διδάσκων χεῖράς μου εἰς πόλεμον
καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου·
36 καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας,
καὶ ἡ δεξιά σου ἀντελάβετό μου,
καὶ ἡ παιδεία σου ἀνώρθωσέν με εἰς τέλος,
καὶ ἡ παιδεία σου αὐτή με διδάξει.
37 ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου,
καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου.
38 καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήμψομαι αὐτοὺς
καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν·
39 ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι, / ²πεσοῦνται ὑπὸ τοὺς πόδας μου.

**17: 34.1** καταρτιζόμενος] S 1098 *L′* (etiam 267) : ὁ καταρτιζόμενος B U R A’ **17: 36.1** σωτηρίας] U’ *L* (etiam 267) Tht$^{p}$ : σωτηρίας μου 1° B’’ R’’ : σωτηρίας σου GaHi 55

ἐπεὶ καὶ προτεθύμημαι φυλάξαι σου τὰς τρίβους,
οὐκ ἀσεβήσας ἀπὸ σοῦ τοῦ θαυμαστοῦ δεσπότου·
πρὸ τῶν ἐμῶν γαρ ὀφθαλμῶν πάντα τὰ κρίματά σου,
ἐπείπερ οὐκ ἀπέστη μου τὰ δικαιώματά σου.
ναί, καὶ γενοίμην ἄμωμος, σῶτερ, ἐνώπιόν σου
καὶ φυλαχθείην καθαρὸς τῶν πονηρῶν πρακτέων
καὶ τότε σὺ πρὸς τὴν ἐμὴν ἀνταποδώσεις δίκην
καὶ τὴν καθαρειότητα τὴν πρὸ τῶν ὀφθαλμῶν μου.
τοῖς γὰρ ὁσίοις ὅσιος, ἀθῷος τοῖς ἀθῴοις
καὶ τῶν ἀνδρῶν τοῖς ἐκλεκτοῖς ἐκλελεγμένος ἔφυς,
πρὸς δὲ τοὺς φαύλους καὶ στρεβλοὺς ἀμείψεις σου τὴν φύσιν.
καὶ σώσεις μόνον τὰς φυλὰς τὰς τεταπεινωμένας
καὶ ταπεινώσεις ὀφθαλμοὺς ἀνθρώπων ἀλαζόνων.
ἐμοί δε πάλιν φωτιεῖς τὸν λύχνον τῆς καρδίας
καὶ φωτιεῖς τὸ σκότος μου φῶς χρηματίζων θεῖον.
καὶ παρὰ σοῦ ῥυσθήσομαι παντὸς πειρατηρίου
καὶ τεῖχος ὑπερβήσομαι σοὶ πεποιθὼς ἐκ βρέφους.
σύ γαρ ὡς μόνος ἄμωμος ἄμωμον ἔχεις τρίβον,
ὁ λόγος δέ σου φοβερός, ὅτι πεπυρωμένος,
καὶ σὺ τῶν ἐλπιζόντων σοι θᾶττον ὑπερασπίζεις.
τίς γαρ θεὸς ἀπανταχοῦ σοῦ πάρεξ τοῦ κυρίου,
τοῦ τῆς ἀρχῆς τὴν δύναμιν εὖ περιζώσαντός με;
σύ μοι γὰρ ἔθου τὰς ὁδοὺς ἐν ὅπλοις ἀπροσκόπως
καὶ σὺ καταρτισάμενος τοὺς πόδας ὡς ἐλάφου
εἰς τὴν ἀρχήν με τοῦ πατρὸς τετήρηκας ἑστῶτα·
καὶ τὰς μὲν χεῖρας τὰς ἐμὰς ἐδίδαξας εἰς μάχην
καὶ τόξον τοὺς βραχίονας χαλκοῦν μοι κατεστήσω.
εἰς σωτηρίαν δεδωκὼς τὸν ὑπερασπισμόν σου
ἡ δεξιά σου μυστικῶς χεὶρ ἀντελάβετό μου,
ἡ σωστική δ’ ἀνώρθωσεν εἰς τέλος με παιδεία
καὶ πάλιν ἡ παιδεία σου διδάξει τὸ συμφέρον.
ἐπλάτυνάς μοι τῶν ποδῶν τὰς ὑποκάτω βάσεις
καὶ τῶν ἰχνῶν ἡ δύναμις οὐκ ἐξησθένησέ μοι.
διώξας οὖν τοὺς δυσμενεῖς ζωγρήσω τῇ χειρί μου,
ἕως γὰρ ἂν ἐκλίπωσιν οὐκ ἀναστρέψω τρέχων
ὥστε πεσόντας τοὺς κακοὺς μὴ δυνηθῆναι στῆναι.

---

**17.50** γαρ ὀφθαλμῶν] om. LD **17.58** καὶ στρεβλοὺς] om. D **17.64** τεῖχος] τοῖχος D

40 καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον,
συνεπόδισας πάντας τοὺς ἐπανιστανομένους ¦
[2]ἐπ’ ἐμὲ ὑποκάτω μου
41 καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον
καὶ τοὺς μισοῦντάς με ἐξωλέθρευσας.
42 ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων,
πρὸς κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν.
43 καὶ λεπτυνῶ αὐτοὺς ὡς χοῦν κατὰ πρόσωπον ἀνέμου,
ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς.
44 ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ,
καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν·
λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέν μοι,
45 εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν μοι·
υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι,
46 υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν / [2]καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.
47 ζῇ κύριος, καὶ εὐλογητὸς ὁ θεός μου,
καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου,
48 ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ
καὶ ὑποτάξας λαοὺς ὑπ’ ἐμέ
49 ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων,
ἀπὸ τῶν ἐπανιστανομένων ἐπ’ ἐμὲ ὑψώσεις με,
ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.
50 διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, κύριε,
καὶ τῷ ὀνόματί σου ψαλῶ,
51 μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ
καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ,
τῷ Δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

## XXXII (1) – Ψαλμὸς τῷ Δαυίδ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ·
τοῖς εὐθέσι πρέπει αἴνεσις.
2 ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ,
ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.

---

**17: 46.1–2** sic praebet 267 **32 (1) tit.** nonnulli codd. (etiam 267), vid. apparatum H.–P. : ἀνεπίγραφος παρ᾽ Ἑβραίοις apud Tht et *L'* sed sine ψαλμός … Δαυίδ

σὺ γάρ με περιέζωσας ἐν συμπλοκαῖς τὸ κράτος
καὶ πάντας συνεπόδισας τοὺς ἐπανισταμένους
ὑπὸ τοὺς πόδας τοὺς ἐμοὺς εἰς συντριβὴν ἐσχάτην
καὶ νῶτον δέδωκας ἐμοὶ τὰς ἀγερώχους φύσεις
καὶ τοὺς μεμισηκότας με συλλήβδην κατειργάσω.
τῶν δὲ κραζόντων οὐ παρῆν ὁ σώζων ἐκ τῶν πόνων
καὶ πρὸς αὐτὸν τὸν λυτρωτὴν αὐτός δ’ οὐκ ἐνηχεῖτο·
καὶ λεπτυνῶ τοὺς πονηροὺς ὡς φυσηθεῖσαν κόνιν
καὶ λεανῶ τοῖς αἵμασιν ὡς τέλμα παρ’ ἀμφόδοις·
ἐκ φιλονείκου με λαοῦ καὶ δυσαγώγου ῥύσῃ,
εἰς κεφαλήν δε τῶν ἐθνῶν αὐτός με καταστήσεις.
καὶ δῆμος δὲ δεδούλευκεν, οὗπερ αὐτὸς ἠγνόουν,
καὶ ταῖς τῶν ὤτων ἀκοαῖς οὗτος ὑπήκουσέ μου
καὶ δυσμενῶν ἀλλογενῶν παῖδες ἐψεύσαντό μοι,
οἳ δὴ καὶ πεπαλαίωνται χωλάναντες ἐν τρίβοις.
σύ δ’ ἀλλὰ ζῶν εὐλογητὸς ὁ παντοκράτωρ μένεις
καὶ συντηρεῖς με καὶ φρουρεῖς ὑψούμενος ἀρρήτως.
αὐτὸς ὁ σώζων καὶ διδοὺς ἐμοὶ τὰς ἐκδικήσεις
καὶ τοὺς λαοὺς τοὺς ὑπ’ ἐμὲ κρειττόνως ὑποτάξας. ‖[110r]
ὁ ῥύστης μου καὶ σκεπαστὴς καὶ δυσμενῶν ὀργίλων,
ὁ καὶ βελτίω δείξας με τῶν ἐπανισταμένων
καὶ τῶν ἠδικηκότων με ῥυσάμενος ὀξέως.
τούτου γοῦν χάριν σε πολλοῖς ἐν ἔθνεσι δοξάσω
καὶ πανταχοῦ μεγαλυνῶ τὴν θαυμαστήν σου κλῆσιν.
ἐπεὶ καὶ σὺ μεγαλωστὶ τὰς σωτηρίας δίδως
ὡς τῷ προπάτορι Δαυὶδ καὶ τοῖς ἐκείνου τόκοις
ἕως αἰῶνος ἐξαρχῆς τοὺς οἰκτιρμοὺς ἐκτείνων.

## 32 I – Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις

Ἀγαλλιᾶσθε, δίκαιοι, σκιρτῶντες ἐν κυρίῳ·
τοῖς γὰρ εὐθέσι καὶ χρηστοῖς αἴνεσις πᾶσι πρέπει,
ἐν δὲ κιθάρᾳ μουσικῇ τοῦτον ὑμνολογεῖτε
καὶ δεκαχόρδῳ ψάλατε πρὸς τοῦτον ψαλτηρίῳ·

**32 I** V (f. 110r) L (ff. 180v–181v)

**17.102** τοὺς λαούς] s.l. add. L **32 I tit.** μακάριον ὧν ἀφέθησαν αἱ ἀνομίαι add. L

3 ᾄσατε αὐτῷ ᾆσμα καινόν,
καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.
4 ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου,
καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·
5 ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν <ὁ κύριος,>
τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ.
6 τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν
καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·
7 συνάγων ὡς ἀσκὸν ὕδατα θαλάσσης,
τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
8 φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ,
ἀπ’ αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·
9 ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν,
αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
10 κύριος διασκεδάζει βουλὰς ἐθνῶν,
ἀθετεῖ δὲ λογισμοὺς λαῶν
καὶ ἀθετεῖ βουλὰς ἀρχόντων·
11 ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει,
λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.
12 μακάριον τὸ ἔθνος, οὗ ἐστιν κύριος ὁ θεὸς αὐτοῦ,
λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.
13 ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος,
εἶδεν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·
14 ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ
ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,
15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν,
ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.
16 οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν,
καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ·
17 ψευδὴς ἵππος εἰς σωτηρίαν,
ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18 ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν
τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ
19 ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν
καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20 ἡ <δέ> ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ κυρίῳ,

**32 (1): 5.1** ὁ κύριος] add. *L’’* (etiam 267) A’ (1219 dub.) **32 (1): 20.1** δέ] add. *L′* (etiam 267) 55 ὑπομενεῖ] Sa 267 et vid. apparatum H.–P., *erit* La$^{R}$Aug : ὑπομένει Bo Sy et alii codd. (vid. apparatum H.–P.), ergo Rahlfs

ᾄσατε τούτῳ μετ’ ᾠδῆς καὶ κρότων ἀντιφθόγγων
καὶ ψάλατε χορεῦσαντες ἀλαλαγμῷ παγκάλως·
εὔρυθμος γάρ τις καὶ τερπνὸς ὁ τοῦ κυρίου λόγος
καὶ πάντα τούτου βέβηκεν ἐν πίστει τὰ πρακτέα.
οἶκτον καὶ κρίσιν ἀγαπᾷ καθάπαξ ὁ δεσπότης
καὶ τῆς χρηστότητος αὐτοῦ πλήρης ἁπλῶς ἡ κτίσις.
ἡδράσθη τὸ στερέωμα τῷ λόγῳ τοῦ δεσπότου
καὶ τῇ πνοῇ τοῦ στόματος ἅπαν αὐτοῦ τὸ κράτος,
συνάγων ὥσπερ ἐν ἀσκῷ τὸ τῆς θαλάσσης ὕδωρ,
τιθεὶς ἀβύσσους ἀφανεῖς ἐν θησαυροῖς ἀδήλοις.
ἅπασα γῆ τὸν πλαστουργὸν καὶ κτίστην φοβηθήτω·
ἀπό δε τούτου τὸ θνητὸν πᾶν σαλευθήτω γένος·
καὶ γὰρ αὐτὸς προστέταχε καὶ γένονεν ὁ κόσμος
καὶ πάλιν ἐνετείλατο καὶ παρευθὺς ἡ κτίσις.
βουλὰς ἐθνῶν ὁ κύριος ἐλέγχει καὶ συγχέει,
λαῶν δε νόθους λογισμοὺς ἀκύρους ἀποφαίνει
σκέψεις ἀρρήτους ἀθετῶν ἀρχόντων ἀσυνέτων.
ἡ δὲ βουλὴ τοῦ παντουργοῦ μέχρι αἰῶνος μένει,
οἱ λογισμοί δε τῆς αὐτοῦ καρδίας βεβηκότες.
ἔθνος δὲ πᾶν μακαριστόν, οὗπερ αὐτὸς δεσπότης,
καὶ δῆμος, ὃν ἀπόλεκτον οὗτος εἰς κλῆρον ἔχει.
ἐπέβλεψεν ὁ κύριος ἐξ ὕψους οὐρανίου
καὶ πάντας εἶδε τοὺς υἱοὺς τῶν ἐπὶ γῆς ἀνθρώπων·
ὡς ἐξ ἑτοίμου καὶ σαφοῦς τοῦ κατοικητηρίου
ἐπέβλεψεν εἰς ἅπαντας τοὺς εἰς τὴν γῆν οἰκοῦντας
ὁ καταμόνας τὰς αὐτῶν παραγαγὼν καρδίας
καὶ συνιεὶς εἰς ἅπαντα τὰ κατ’ αὐτοὺς πρακτέα.
οὐ σώζεταί που βασιλεὺς ἐπὶ πολλῇ δυνάμει
καὶ γίγας οὐ σωθήσεται τῇ κατ’ αὐτὸν ἰσχύι,
ἵππος ψευδὴς εἰς ὕπαρξιν ἱππότου σωτηρίας,
ἐπείπερ οὐ σωθήσεται τῇ παρ’ αὐτοῦ δυνάμει.
ἰδοὺ θεὸς ἐπισκοπεῖ τοὺς τοῦτον φοβουμένους
καὶ τοὺς ἐλπίζοντας αὐτοῦ τοῖς οἰκτιρμοῖς ἀνθρώπους
ῥύσασθαι τούτων τὰς ψυχὰς ἐκ πονηροῦ θανάτου
καὶ θρέψαι τούτους ἐν λιμῷ καὶ συνοχῇ πραγμάτων.
ἡμεῖς δε πάντως ἐκ ψυχῆς ὑπομενοῦμεν τούτῳ·

ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·
21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν,
καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22 γένοιτο τὸ ἔλεός σου, κύριε, ἐφ’ ἡμᾶς,
καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

**XXVIII – Ψαλμὸς τῷ Δαυίδ· ἐξοδίου σκηνῆς**

Ἐνέγκατε τῷ κυρίῳ, υἱοὶ θεοῦ,
ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν,
ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν,
2 [...] /[2]προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
3 φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων,
ὁ θεὸς τῆς δόξης ἐβρόντησεν, / [2]κύριος ἐπὶ ὑδάτων πολλῶν.
4 φωνὴ κυρίου ἐν ἰσχύι,
φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ.
5 φωνὴ κυρίου συντρίβοντος κέδρους,
καὶ συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου
6 καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον,
καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.
7 φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός,
8 φωνὴ κυρίου συσσείοντος ἔρημον,
καὶ συσσείσει κύριος τὴν ἔρημον Κάδης.
9 φωνὴ κυρίου καταρτιζομένου ἐλάφους, / [2]καὶ ἀποκαλύψει δρυμούς·
καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.
10 κύριος τὸν κατακλυσμὸν κατοικιεῖ,
καὶ καθίεται κύριος βασιλεὺς εἰς τὸν αἰῶνα.
11 κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει,
κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

**28: 2.1** om. U′, sed probabiliter Philes omissit iterationis causa **28: 3.2–3** sic dividit 267 **28: 9.1–2** sic dividit 267

ἡμῶν γαρ ἔστι βοηθὸς ὑπερασπίζων μόνος
κἀν τούτῳ τερφθησόμεθα τῷ ῥύστῃ τὴν καρδίαν.
τῇ τούτου γὰρ ἠλπίσαμεν ἡγιασμένῃ κλήσει,
ἀλλ’ ἐφ’ ἡμᾶς σου γένοιτο τοὺς δούλους ἡ χρηστότης,
καθάπερ ἔσχομεν εἰς σέ, παντάναξ, τὰς ἐλπίδας.

## 28 – Ψαλμὸς τῷ Δαυὶδ ἐξοδίου σκηνῆς

Υἱοὶ θεοῦ προσάξατε τῷ θαυμαστῷ κυρίῳ, ‖[110v]
προσάξατε τῷ παντουργῷ κριοὺς ἀρτιγεννήτους,
ἐνέγκατε τιμήν τινα καὶ δόξαν τῷ κυρίῳ,
εἰς τὴν αὐλὴν δὲ τὴν αὐτοῦ κλίνατε τούτῳ γόνυ.
φωνὴ κυρίου κατ’ αὐτῶν ἠκούσθη τῶν ὑδάτων·
ὁ γὰρ θεὸς ἐβρόντησεν ἐπὶ πολλῶν ὑδάτων.
φωνὴ κυρίου πανταχοῦ πλήρης ἐστὶν ἰσχύος,
φωνὴ κυρίου καθαρῶς ἐν μεγαλοπρεπείᾳ,
φωνὴ κυρίου φοβερὰ κέδρων συγκλῶντος φύσιν.
συντρίψει γὰρ ὁ κύριος τὰς κέδρους τοῦ Λιβάνου
καὶ ταύτας ὡς τὸν Λίβανον τὸν μόσχον καθαιρήσει,
ὁ δὲ τὸ πρὶν ἀγαπηθεὶς ὡς παῖς μονοκερώτων.
φωνὴ κυρίου τέμνοντος φλόγα πυρὸς ἀκμαίαν,
φωνὴ κυρίου συσσεισμῷ κλονοῦντος τὰς ἐρήμους
ἢ καὶ τὴν ἔρημον αὐτὴν ἐπισυσσείσει Κάδδης
καὶ καταρτίζουσα νεβροὺς, δρυμοὺς ἀποκαλύψει
κἀν τῷ ναῷ τοῦ παντουργοῦ δόξαν τις ἅπας λέγει.
κατοικιεῖ δὲ τὸν βαρὺν κατακλυσμὸν ὁ πλάστης
καὶ καθιεῖται βασιλεὺς ἐπὶ παντὸς αἰῶνος.
κύριος δώσει τῷ λαῷ κατ’ ἐναντίων σθένος,
ὃν εὐλογήσας μυστικῶς εἰρήνην πρυτανεύσει.

---

**28** V (f. 110rv) L (ff. 181v–182r) D (ff. 204rv)

---

**28 tit.** ἐνέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ ψαλμός add. LD : Mi.Ps. *Poem.* 1.86–89 (ed. Westerink) in marg. ext. f. 204r D (vid. app. 1) **28 tit.** ἐξοδίου] ἐξόδου LD **28.1** υἱοί] υἱόν V, postea in υἱοί recte corr. LD

## CIII – Ψαλμὸς τῷ Δαυὶδ ὑπὲρ τῆς τοῦ κοσμοῦ συστάσεως

Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.
κύριε ὁ θεός μου, ἐμεγαλύνθης σφόδρα,
ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω
2 ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,
ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·
3 ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ,
ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ,
ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·
4 ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα
καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
5 ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς,
οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
6 ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ,
ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·
7 ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται,
ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
8 ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσιν πεδία
εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς·
9 ὅριον ἔθου, ὃ οὐ παρελεύσονται,
οὐδὲ ἐπιστρέψουσιν καλύψαι τὴν γῆν.

**103 tit.** sic $L^{pau}$ **103: 1.3** μεγαλοπρέπειαν] *L′* (etiam 267) A : εὐπρέπειαν B’’ 1093 R’’ GaHi Sy 55 **103: 4.2** πυρὸς φλόγα] Bo Sa $L^{b}$ (etiam 267) $A^{c}$ (φλέγα) : πῦρ φλέγον Rahlfs **103: 5.1** ὁ θεμελιῶν] Bo *L’’* (etiam 267) A’’, *qui fundasti* GaHi : ἐθεμελίωσεν B′-2044 Sa R’’, ergo Rahlfs

**103 – Ψαλμὸς τῷ Δαυὶδ ὑπὲρ τῆς τοῦ κοσμοῦ συστάσεως**

Εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην.
ὁ κύριός μου καὶ θεὸς ἐμεγαλύνθης σφόδρα
καὶ γὰρ ἐξομολόγησιν καὶ κράτος ἐνεδύσω,
ὁ φῶς ἀναβαλλόμενος ἀντὶ λαμπρᾶς ἐσθῆτος,
ὁ δέρριν ὥσπερ τῇ χειρὶ τὸν οὐρανὸν ἐκτείνων,
αὐτοῦ δε τὰ μετέωρα στεγάζων ἐφ' ὑδάτων,
ὁ τὴν ἐπίβασιν αὐτοῦ καταπηγνὺς εἰς νέφη,
ἐπὶ πτερύγων δὲ λεπτῶν περιπατῶν πνευμάτων,
ὁ τοὺς ἀγγέλους ἑαυτοῦ πνεύματα δρῶν ὀξέα,
πυρός δε φλόγα δραστικὴν τοὺς λειτουργοὺς δεικνύων.
ὁ γῆς ἐρείσματα πηγνὺς ἐπὶ τὴν ταύτης βάσιν,
ἣ πάντως οὐ κλιθήσεται μέχρι παντὸς τοῦ χρόνου.
ἄβυσσος ὡς ἱμάτιον ἡ τούτου καλινδήθρα,
χύσις ὑδάτων στήσεται κἀν τοῖς ὀρείοις λόφοις·
ἀπὸ δ' ἐπιτιμήσεως φεύξεται σῆς ἡ κτίσις
καὶ πάντα δειλιάσουσι τῷ τῆς βροντῆς σου κτύπῳ,
ἀνάβασις ἐν ὄρεσι, κατάβασις ἐν πέδοις
καὶ τόπῳ τῷ τοῖς κρίμασι τοῖς σοῖς ἐστηριγμένῳ.
ὅριον ἔθου πεπηγός, ὃ παρελθεῖν οὐκ ἔνι,
οὐδ' ἐπιστρέψουσι τὴν γῆν καλύψαι παραυτίκα.

---

**103** V (ff. 110v–111r) L (ff. 182r–183v) D (f. 219rv) Vat (ff. 34r–35r) M (f. 303v) P (f. 3r) E (ff. 155v–156v)

---

**103 tit.** ψαλμὸς τῷ Δαυὶδ ἐπὶ τῆς τοῦ κοσμοῦ γενέσεως, ψαλμὸς ργʹ εὐλόγει ἡ ψυχὴ τὸν κύριον L : ψαλμὸς τῷ Δαυὶδ ἐπὶ τῆς τοῦ κοσμοῦ γενέσεως, ψαλμὸς ργʹ εὐλόγει ἡ ψυχὴ τὸν κύριον κύριε ὁ θεός μου ἐ D : ψαλμὸς ᾠδῆς ὑπὲρ τοῦ κοσμοῦ συστάσεως: et Mi.Ps. *Poem.* 54.1048–2049 (ed. Westerink) Vat (vid. app. 2) : ὁ προιμιακὸς διὰ στίχου E : μετεφράσθη παρὰ κυροῦ Γεωργίου τοῦ Φιλῆ add. M : om. P **103.2** ἐμεγαλύνθης] ἐμεγαλύνθη Vat **103.4** ὁ φῶς] τὸ ωῶς D : τὸ φῶς E ἐσθῆτος] αἰσθήτος MEP **103.5** ὁ δέρριν] ὡ δερρει P ἐκτείνων] κρατείνας PM **103.6** μετέωρα] μεταίωρα P **103.7** καταπηγνὺς ... νέφη] καταπαγνῆς νεφέλης P : καταπηγνῆς νεφέλαις E **103.8** ἐπὶ πτερύγων] ὑποπτερύγων P περιπατῶν πνευμάτων] πνευματικῶν ἀνέμων E **103.9** ἑαυτοῦ] ἑαυτῶν P **103.10** δεικνύων] δυκνύων P : δεικνύι Vat **103.11** γῆς ... πηγνύς] γῆς ἐρείσματα πιγνῆς P : γῆς ἐρείσματα πηγής Vat : ὁ εἰς τὴν γῆν μετὰ πυγνύς E **103.12** ἥ ... κλιθήσεται] οἱ πάντες οὐ κληθήσονται P τοῦ χρόνου] αἰῶνος ME **103.13–15** om. P **103.13** καλινδήθρα] ἡλῖν δίθρα M : κολυμβήθρα E **103.14** χύσις] φύσις M στήσεται] στήσονται E κἀν] καί E ὀρείοις] ὀρίοις E λόφοις] λόμφοις E **103.15** σῆς] σου EM **103.16** καί ... κτύπῳ] καὶ πάντες διλειάσωσι τὸν τῆς βρόντης σου κτύπον P : δειλιάσσουσι τῷ βροντή σου Vat πάντα] πάντες EM τῷ] τόν E κτύπῳ] κτήπον E **103.17** ὄρεσι] πόλεσι M πέδοις] παίδες PM : πεδίοις E **103.18** καί ... τῷ] εἰς τόπον τόν E τῷ ... ἐστηριγμένῳ] τὸ τοῖς κρίμμασι τοῖς σοῖς ἐστηριγμένος P : τὸ τοῖς κρίμασι τοῖς σοῖς ἐστηριγμένη M : στηριγμένοις E ἐστηριγμένῳ] ἐστηριγμένοις D **103.19** πεπηγός] πεποιθός P : πεπηγῶς M : πεπηγώ D **103.20** οὐδ'] οὐδὲ γάρ PM γῆν] γήν P παραυτίκα] πάλιν M

10 ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν,
ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα·
11 ποτιοῦσιν πάντα τὰ θηρία τοῦ ἀγροῦ,
προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν·
12 ἐπ’ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει,
ἐκ μέσου τῶν πετρῶν δώσουσιν φωνήν.
13 ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ,
ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
14 <ὁ> ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν
καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων
τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·
15 καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου
τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ,
καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
16 χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου,
αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσεν·
17 ἐκεῖ στρουθία ἐννοσσεύσουσιν,
τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.
18 ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις,
πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
19 ἐποίησεν σελήνην εἰς καιρούς,
ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

---

**103: 14.1** ὁ ] add. R *L′* (etiam 267) A’ Sa R’ GaHi 1219, ergo Rahlfs **103: 18.2** λαγωοῖς ] *L′* (etiam 267) Su A’ : χοιρογρυλλίοις B’’-2044

ὁ καὶ πηγὰς ταῖς φάραγξιν ἐξαποστέλλων χύδην
ὕδατα διελεύσεται καὶ μέσον τῶν ὀρέων
καί ποτιοῦσι δαψιλῶς τοὺς ἀγρονόμους θῆρας,
ὄναγροι δὲ προσδέξονται διψῶντες τὰς ἐκχύσεις,
τοῦ δ’ οὐρανοῦ τὰ πετεινὰ κατασκηνώσει τούτοις
δώσουσι δέ τινα φωνὴν καὶ μεταξὺ τῶν λίθων.
ὄρη ποτίζων ἐν αὐχμοῖς ἀπὸ τῶν ὑπερῴων,
ἀπὸ καρποῦ τῶν ἔργων σου κόρου τὴν γῆν ἐμπλήσεις,
ὁ πᾶσι τοῖς βοσκήμασιν ἐξανατέλλων χόρτον
καὶ χλόην τῇ καθ’ ἕκαστον δουλείᾳ τῶν ἀνθρώπων,
τοῦ γῆθεν ἄρτον ἐνεγκεῖν εἰς ἐδωδὴν ἀνθρώπων.
οἶνος δὲ τέρπει φυσικῶς τὴν ἐν αὐτοῖς καρδίαν,
ὡς ἱλαρύναι πρόσωπον μετάληψιν ἐλαίου,
ἄρτου δὲ βρῶσις γηγενοῦς στηρικτικὴ καρδίας.
τὰ ξύλα χορτασθήσεται τῆς δρόσου τοῦ πεδίου
καὶ κέδροι λιβανότροφοι πρὸς σοῦ πεφυτευμέναι, ‖[111r]
ἐκεῖ στρουθία νεοττοὺς ἐκλέψουσιν ὡραίους,
ἡγεῖται δ’ οὖν ἐρωδιοῦ τούτων ἡ κατοικία.
ὄρη τὰ πάμπαν ὑψηλὰ ταῖς δρομικαῖς ἐλάφοις,
ἡ πέτρα δὲ καταφυγὴ τοῖς λαγωοῖς ἀνεῖται
καὶ τοῖς προσήκουσι καιροῖς εἰργάσω τὴν σελήνην,
ὁ δὲ φωσφόρος ἀνασχὼν ἔγνω σαφῶς τὴν δύσιν.

---

**103.21** πηγάς] πιγάς P  ἐξαποστέλλων] ἐξαποστέλων P : ἐξανατέλων M : post χύδην et in marg. αὐτοῦ E  **103.22** διελεύσεται … ὀρέων] διελεύσονται μέχρι τῶν ὁραῖων P  διελεύσεται] διελεύσονται D Vat : δ’ ἐλεύσονται E  καὶ μέσον] ἐκ μέσου M : ἐκ μέσων E  **103.24** διψῶντες] διψόντες P  ἐκχύσεις] ἐκχήσεις E : ἐκχύσις P  **103.25** τοῦ … τούτοις] τοῦ δ’ οὐρανοῦ δὲ πετεινᾶ, κατασκυνώσις τούτον P : τοῦ οὐρανοῦ δὲ πετεινά, κατασκηνώσις τούτοις E  κατασκηνώσει] κατασκηνοῦσι M  **103.26** καὶ μεταξύ] ἐκ μεταξύ E  λίθων] λίθον P  **103.27–29** om. P  **103.27** ὄρη] ὄρα LD  αὐχμοῖς] αὐχμῆς E : αὐχμαῖς M  ὑπερῴων] ὑπερόων E  **103.28** κόρου] κόρον Vat **103.29** πᾶσι] πάσοοις M  ἐξανατέλλων] ἐξανατέλων Vat  χόρτον] χόρτων E  **103.30** τῇ … δουλείᾳ] τὴν καθ’ ἕκαστον δουλεῖαν P  τῇ] τὴν E  **103.31** add. in marg. in V : τοῦ δῆθεν ἄρτον ἐνεγκεῖν εἰς δίδοσιν ἀνθρώπων M : τοῦ δεῖθεν ἄρτον ἐν τῇ γῇ εἰς ἐδωδὴν ἀνθρώπων E : L, P, Vat, D om. **103.32** φυσικῶς] φυσικός M  ἐν αὐτοῖς] ἑαυτοῦ PME  καρδίαν] καρδίας Vat  **103.33** ὡς] om. PE : τοῦ M  ἱλαρύναι] ἱλαρύνει EP  ἐλαίου] ἐνθέου P  **103.34–36** om. P  **103.34** ἄρτου … καρδίας] ἄρτος δὲ βρῶσις γηγενῶν στηρίζει τὴν καρδίαν E : καρδία M : καρδίαν Vat  **103.35** χορτασθήσεται] χορτασθήσονται E  τῆς δρόσου] ταῖς δρόσοις E  **103.36** πεφυτευμέναι] πεφυτευμένοι ME  **103.37** στρουθία νεοττούς] στρουθεῖα νεοσσῶν P : νεοσσεῖς E : νεοττοῖς M  ἐκλέψουσιν ὡραίους] ἐκλείψουσιν ὀρνέοις M : ἐκλέψονται ὀραίους E  **103.38** ἡγεῖται δ’ οὖν] ἡ γὴ τοῦ δούναι P : ἡ γῆ τὲ δ’ αὖ M : γῆ οὖν E  ἐρωδιοῦ τούτων] ἐρωδιοῦ τούτοις PM : ἐρωδιυτῶν in textu praebet et ἡγεῖται οὖν ἐρωδίου αὐτῶν in marg. add. E  ἡ κατοικία] κατοικοῖα P : ἐστὶν ἡ κατοκία E  **103.39** ἡγεῖται δ’ οὖν] ὄρα D  τὰ πάμπαν] πάντα τὰ M : πάντα E : πᾶμπαν P  ὑψηλὰ] ὑψιλὰ EP : post ὑψιλά praebet τοῖς λαγωοῖς ἀνεῖται E  **103.40** καταφυγὴ τοῖς λαγωοῖς] invertit D  **103.41** om. P

20 ἔθου σκότος, καὶ ἐγένετο νύξ,
ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ,
21 σκύμνοι ὠρυόμενοι ἁρπάσαι
καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς.
22 ἀνέτειλεν ὁ ἥλιος, ¦
[1]καὶ συνήχθησαν / [2]καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται·
23 ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ
καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
24 ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε·
πάντα ἐν σοφίᾳ ἐποίησας,
ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου.
25 αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος,
ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός,
ζῷα μικρὰ μετὰ μεγάλων·
26 ἐκεῖ πλοῖα διαπορεύονται,
δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.
27 πάντα πρὸς σὲ προσδοκῶσιν
δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον. / 28 δόντος σου αὐτοῖς συλλέξουσιν,
ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος.
29 ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται·
ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσιν
καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
30 ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται,
καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
31 ἤτω ἡ δόξα κυρίου εἰς τὸν αἰῶνα,

**103: 22.2** εἰς τὰς μάνδρας] *L′* (etiam 267) A : ἐπὶ τὰς μάνδρας S, ἐν ταῖς μάνδραις B R 1219, ergo Rahlfs
**103: 27.2** αὐτοῖς] B″ Sa He 1219 : αὐτῶν *L″* (etiam 267) A’

ἔθου δὲ σκότος ἀλαμπὲς καὶ νύκτα κατεστήσω,
ἐν ταύτῃ διελεύσονται τὰ τοῦ δρυμοῦ θηρία,
σκύμνοι συχνοὶ μετ’ ἐρυγῆς ἁρπάσαι τι ποθοῦντες
καὶ βρῶσιν ἐξαιτήσασθαι παρὰ τοῦ σφῶν δεσπότου.
ἀνέτειλεν ὁ χαροπὸς φωσφόρος τῆς ἡμέρας
καὶ παρευθὺς συνήχθησαν ταῖς μάνδραις κοιτασθέντες.
ἄνθρωπος ἐξελεύσεται πρὸς τὸν τῶν ἔργων πόνον,
πράξει δὲ καί τι σύνηθες ἄχρις αὐτῆς ἑσπέρας.
ὡς ὑπερήρθη, κύριε, τὰ κατὰ σὲ πρακτέα·
ἐν γὰρ σοφίᾳ σύμπαντα καὶ τέχνῃ συνεστήσω,
ἡ γῆ μὲν οὖν πεπλήρωται τῶν ὑπὸ σοῦ κτισμάτων.
οὗτος ὁ πόντος ὁ πολὺς ἐν τῷ προμήκει πλάτει,
ἐκεῖ τι πλῆθος ἑρπετῶν ξύμπαντος μέτρου πλέον,
ἐκεῖ μικρὰ παντοδαπὰ μετὰ μεγάλων ζῷα,
ἐκεῖ διαπορεύονται συναγωγίμοις πλοῖα
καὶ δράκων οὗτος ὁ πλασθεὶς ἐμπαίζειν ταῖς ἀβύσσοις.
πάντα πρὸς σὲ τὸν πλαστουργὸν καὶ κτίστην προσδοκῶσι
δοῦναι τροφὴν εἰς εὔκαιρον· δόντος σου γὰρ συλλέξει,
ἀνοίξαντος τὴν χεῖρα σου, χεθήσεται χρηστότης.
εἰ δ’ ἀποστρέψεις τὴν μορφήν, ἡ ταραχὴ μεγάλη,
ἀντανελεῖς τὰ πνεύματα, καὶ παρευθὺς ἐκλείψει
καὶ πρὸς τὸν χοῦν τὸν ἀρχηγὸν τοῦ γένους ἐπιστρέψει.
ἀποστελεῖς τὸ πνεῦμα σου καὶ πάλιν ἀνακτίσεις,
καὶ πᾶν τὸ πρόσωπον τῆς γῆς αὖθις καινὸν ἐργάσῃ.
ἤτω λοιπὸν ἀκήρατος ἡ δόξα τοῦ κυρίου,

**103.43** om. P  δέ] om. M  ἀλαμπές] ἀναμπές E  **103.44–50** om. E  **103.44** ἐν ταύτῃ … θηρία] ἐν ᾗπερ ἐξελεύσαται, πὰν ἀπ’ ἀγροῦ θηρίον P : ἐν ᾗπερ ἐξελεύσεται πᾶν ἀπ’ ἀγροῦ θηρίον M  **103.45** μετ’ ἐρυγῆς] μετ’ ὠρυγῆς Vat M  τι ποθοῦντες] πιποθούντων P  **103.47** ἀνέτειλεν] ἐνέτειλεν Vat  χαροπὸς φωσφόρος] χαρροπὸς φοσφόρος P  **103.48** συνήχθησαν] ἠνοίγησαν P  κοιτασθέντες] ἠτασθέντες P : κοιταθήνε Vat  **103.49** ἄνθρωπος] post ἄνθρωπος praebet δέ P  τόν … πόνον] τὸ τῶν πόνων ἔργον PM  **103.50** πράξει] πράξιν P  τι … ἄχρις] τὸ σύνηθες μέχρι P : συνήθησι ἄχρις M  τι] om. M  **103.51** ὑπερήρθη] περέχθη P  πρακτέα] πρακταία P  **103.52** ἐν] ἦν P  σύμπαντα] σύμπασα P  **103.53** om. P  ὑπὸ σοῦ] νοητῶν M  **103.54** προμήκει πλάτει] πρὸς μήκει πλάττει P  προμήκει] πρὸς μήκει E  **103.55** ἐκεῖ] ἐκοί P  τι πλῆθος] τῷ πλήθει P : τὸ M  μέτρου] μέρους M  **103.56** om. PE  **103.57** ἐκεῖ διαπορεύονται] ἐκοῖ διαπορέβεται P : διαπορέβονται Vat  συναγωγίμοις] σὺν ἀγωγίμοις Vat : συναγωγῆς μοι πλεῖα M  **103.58** ἐμπαίζειν ταῖς ἀβύσσοις] ἐμπέξη τὰς ἀβύσσους E  **103.59** προσδοκῶσι] προσδοκοῦσι D  **103.60** σου] σοι P  συλλέξει] συλέγξει P  **103.61** τὴν χεῖρα] τοὺς λόγους M  χεθήσεται] σχεθήσεται P : πλησθήσεται M  **103.62** εἰ] ἡ P  **103.63–65** ἀντανελεῖς … ἀνακτίσεις] post ἀντανελεῖς praebet τὸ πνεῦμα σου καὶ πάλιν ἀνακτίσης et om. τὰ πνεύματα … ἀνακτίσεις M  **103.63** ἐκλείψει] ἐκλήψει E  **103.64** τὸν] om. E  ἐπιστρέψει] ἀποστρέψει Vat  **103.65** ἀποστελεῖς] ἀποστελλεῖς D  **103.66** om. P  ἐργάσῃ] ἐργάσει D  **103.67** ἤτω … κυρίου] ἤτω ἡ δόξα τὸν λοιπὸν ἀκήρατος κυρίου M

εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ·
32 ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν,
ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
33 ᾄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου, / [2]ψαλῶ τῷ θεῷ μου, ἕως ὑπάρχω·
34 [ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,] / [2]ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.
35 ἐκλίποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς
καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.
[εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.]

## XIX – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

2 Ἐπακούσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεως,
ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ.
3 ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου
καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.
4 μνησθείη πάσης θυσίας σου / [2]καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.
5 [διάψαλμα] δῴη σοι κατὰ τὴν καρδίαν σου
καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι.
6 ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου
καὶ ἐν ὀνόματι θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου.
7 νῦν ἔγνων ὅτι ἔσωσεν κύριος τὸν χριστὸν αὐτοῦ·
ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ·

---

**103: 35.1** ἐκλίποιεν] $L^{a\prime}$ (etiam 267, non THe) 1219 : ἐκλίποισαν Rahlfs **19: 4.1–2** unus stichus B′ R’’ A′ **19: 6.1** ἐπί] $Sa^{L}$ *L*′ (etiam 267) A’ : ἐν rel. codd., ergo Rahlfs

τερφθήσεται δ’ οἷς τέτευχεν ὁ παντουργὸς δεσπότης,
ὃς ἐπιβλέπων εἰς τὴν γῆν πείθει τὰς βάσεις τρέμον,
ὃς τῶν ὀρέων ἥψατο καὶ θᾶττον ἐκαπνίσθη.
ᾄσω τῷ κτίστῃ περιών, ἔτι ψαλῶ δε πνέων,
ἐγώ δε πάλιν ἐπ’ αὐτῷ χαιρήσω καὶ σκιρτήσω.
ἐκλίποιεν ἁμαρτωλοὶ τῆσδε τῆς γῆς ἀθρόοι
καὶ πάντες ἄνομοι κοινῇ μὴ πάλιν ὑποστῶσιν.

## 19 – Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ

Ἐν θλίψεως ἡμέρᾳ σου κύριος ἐπακούσαι,
ὑπερασπίσαι σου λαμπρῶς ἡ τοῦ δεσπότου κλῆσις,
ἐκπέμψαι σοι τὴν ἄνωθεν ἐπικουρίαν κάτω·
ἐκ δὲ Σιὼν τῆς θαυμαστῆς νῦν ἀντιλάβοιτό σου,
μνησθείη τῆς θυσίας σου λιπάνας σου τὸ θῦμα,
τὴν ἀμοιβὴν παράσχοι σοι κατὰ τὴν σὴν καρδίαν
καὶ πᾶσαν ὁ φιλόδωρος πληρώσαι τὴν βουλήν σου.
ἐπὶ τῷ σωτηρίῳ σου χαιρήσομεν αὐτίκα
καὶ μεγαλυνθησόμεθα τῇ τοῦ δεσπότου κλήσει.
ἃ δ’ ἂν αἰτήσαις παρ’ αὐτοῦ πληρώσαι παραυτίκα.
νῦν ἔγνων ὅτι τὸν χριστὸν σέσωκεν ὁ δεσπότης,
ὃς οὐρανόθεν τῆς φωνῆς ἀκούσεται τῆς τούτου·

**19** V (f. 111r) L (ff. 183v–184r) D (f. 202r)

**103.68** τερφθήσεται … τέτευχεν] τερφθεὶς δὲ τέτευχος M : χαρήσεται δ’ οἷς τέτευχεν E δ’ οἷς] δύς P τέτευχεν] τέτυχεν L **103.69** ὃς] ὡς E εἰς τὴν γῆν] ἐπὶ γῆς P : ἐπὶ γῆν ME πείθει] ποίθι P τρέμον] τρέμει P **103.70** ὃς] ὡς E ὀρέων] ὁραίων P **103.71** περιών] περθών Vat ψαλῶ] ψαλλῶ M πνέων] πλέον PE **103.72** ἐγώ … σκιρτήσω] post 71 versum καὶ τούτοις μὲν τοῖς ῥήμασιν ἐκοίνος (sic) ἡδυνθείην add. P : καὶ τὸ καθ᾽ ἓν τοῖς ῥήμμασιν ἐκεῖνος ἡδυνθείη M : καὶ τούτοις μὲν τοῖς ῥήμμασιν ἐκεῖνος ἡδυνθείη E **103.73** ἐκλίποιεν … ἀθρόοι] πρὸς ἐπ’ αὐτῷ χαρήσομ᾽ ἐπισκιρτήσω M τῆσδε … ἀθρόοι] ἀπὸ τῆς γῆς ἀθρόος P ἀθρόοι] ἀθρόον M : ἀθρῶοι D **74 103.74** καί … ὑποστῶσιν καὶ ἄνομοι παντοδαπῶς καθόλου μὴ ὑπάρχειν P : ἄνεμοι καιροί M κοινῇ μή] καὶ μή E ὑποστῶσιν] ὑποπιστώσιν E post v. 74 iterum vv. 1–2 et δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνους τῶν αἰώνων ἀμήν; ἀλλελούια ἀλλελούια ἀλλελούια δόξα πατρὶ υἱῷ καὶ ἁγίῳ πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ τοὺς αἰώνους τῶν αἰώνων ἀμήν add. P : iterum vv. 1, 42, 43, 51, 52, et δόξα πατρὶ καὶ πνεύματι νῦν καὶ εἰς τοὺς αἰῶνας ἀλληλουία, δόξα σοι ὁ θεός add. M : iterum vv. 1, 43, 51, 52 et ἀλληλουία εἴπωμεν, ἀλληλουία πάλιν καὶ πάλιν ἀλληλουία, δόξα σοι ὁ θεός μου. καὶ τὸ αὐτὸ τρεισεύσωμεν, τῇ ἁγίᾳ τριάδι, τὸ δὲ ἀμὴν πληρώσωμεν εἰς αἰῶνα αἰῶνος καὶ ἰδοὺ τέλος πέφθαμεν, ὁ ψαλμὸς διὰ στίχου καὶ δότε καὶ συγχώρησιν τοῖς ἔχουσιν καὶ γράψας add. E
**19 tit.** ἐπακοῦσαι σου κύριος ἐν ἡμέρᾳ θλίψεώς σου add. LD **19.8** χαιρήσομεν] χαιρήσωμεν LD
**19.11** ἔγνων] ἔγνω LD χριστόν] χρηστόν D

ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ.
8 οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις,
ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα.
9 αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν,
ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν.
10 κύριε, σῶσον τὸν βασιλέα σου
καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

## XX – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

2 Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς
καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
3 τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ
καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.
4 [διάψαλμα] ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος,
ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.
5 ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ,
μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.
6 μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου,
δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ’ αὐτόν·
7 ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος,
εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου.
8 ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον
καὶ ἐν τῷ ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ.
9 εὑρεθείη ἡ χείρ σου πᾶσιν τοῖς ἐχθροῖς σου,
ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε.
10 ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου·
κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς,
καὶ καταφάγεται αὐτοὺς πῦρ.
11 τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς
καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων,
12 ὅτι ἔκλιναν εἰς σὲ κακά, / $^{2}$διελογίσαντο βουλήν, ἣν οὐ μὴ δύνωνται στῆσαι.
13 <ὅτι> θήσεις αὐτοὺς νῶτον / $^{2}$ἐν τοῖς περιλοίποις σου ¦

**20: 3.1** τῆς καρδίας] Sa La$^{G}$ Vulg *L′* (etiam 267) 1219’ : τῆς ψυχῆς B’’ R′Aug Ga A, ergo Rahlfs **20: 10.1** ὅ-τι] add. S* *L′* (etiam 267) 55

οὗτος γὰρ σώζειν δεξιᾶς ἐν δυναστείαις οἶδεν.
οὗτοι τοῖς ἅρμασιν αὐτοῖς, οὗτοι τοῖς ἵπποις πάλιν,
ἡμεῖς δε τοῦ δεσπόζοντος καλέσομεν τὴν κλῆσιν·
αὐτοὶ συνεποδίσθησαν εἰς πτῶσιν ὀλεθρίαν,
ἡμεῖς δ’ ἀνέστημεν εὐθὺς ἀνορθωθέντες πάλιν.
κύριε, σῶσον τὸν ἐν σοὶ τοῦ γένους βασιλέα,
ἡμῶν δ’ ἐπάκουσον εὐθύς, ᾧ σε καλοῦμεν χρόνῳ. ‖111v

**20 – Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ**

Ὁ βασιλεὺς ἐπὶ τῇ σῇ τερφθήσεται δυνάμει,
ἐν δὲ τῷ σωτηρίῳ σου χαιρήσει κατακράτος·
σὺ γὰρ τὴν ἔφεσιν αὐτῷ παρέσχες τῆς καρδίας
τὴν τῶν χειλέων θέλησιν εἰς ἔργον περατώσας.
προύφθασας γὰρ χρηστότητος ἐν εὐλογίαις τοῦτον
στέψας αὐτοῦ τὴν κορυφὴν λιθοκολλήτῳ στέφει
καὶ τὴν ζωὴν ἐβράβευσας, ἥνπερ ᾐτήσατό σε,
πρὸς ἡμερῶν μακρότητα μέχρι παντὸς αἰῶνος.
ἐν δὲ τῷ σωτηρίῳ σου μέγα τὸ τούτου κλέος
καὶ δόξαν θήσεις ἐπ’ αὐτὸν ἐν μεγαλοπρεπείᾳ
καὶ τὴν ἀκήρατον αὐτῷ σὺ πρυτανεύσεις χάριν
τῇ τοῦ προσώπου σου χαρᾷ τοῦτον ἁβρῶς εὐφράνας·
καὶ γὰρ ἐπὶ τὸν κύριον ὁ βασιλεὺς ἐλπίζει
καὶ τούτου ζῶν τοῖς οἰκτιρμοῖς οὐκ ἔχει σαλευθῆναι.
ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς ἀπρόσμαχος δειχθείη,
εὕροι δὲ τοὺς μισοῦντας σε πάντας ἡ δεξιά σου·
ὡς πῦρ γαρ τούτους ἐν καιρῷ φλέξει τὸ πρόσωπόν σου,
κύριος τούτους ἐν ὀργῇ συνταραχθέντας λύσει
καὶ κατεωχηθήσεται τούσδε τὸ πῦρ ἀθρόους.
σύ δ’ ἀπολεῖς καὶ τὸν καρπὸν γῆθεν αὐτῶν εἰς τέλος
καὶ τὴν γονὴν τὴν κατ’ αὐτοὺς ἐξ ἀνθρωπίνων τόκων·
κακά γαρ ἔκλιναν εἰς σὲ βεβουλευμένοι μάτην.
ἐν δὲ τοῖς περιλοίποις σου νῶτον αὐτοὺς ἐργάσῃ

**20** V (f. 111v) L (ff. 184rv) D (f. 202r)

**19.13** δεξιᾶς] δεξιάς V **20 tit.** κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς add. LD **20.5** προύφθασας] fort. προῦφθασας scripsit V **20.12** ἁβρῶς] ἀγρῶς D **20.19** ἀθρόους] ἀθρόως (s.l. corr. –ους) V

[2]ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.
14 ὑψώθητι, κύριε, ἐν τῇ δυνάμει σου·
ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

**XXI – Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς. ψαλμὸς τῷ Δαυίδ**

2 Ὁ θεὸς ὁ θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;
μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.
3 ὁ θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ,
καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.
4 σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος Ἰσραήλ.
5 ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν,
ἤλπισαν, καὶ ἐρρύσω αὐτούς·
6 πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν,
ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.
7 ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος,
ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ.
8 πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με,
ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν
9 Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν·
σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.
10 ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός,
ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·
11 ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας,
ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ.
12 μὴ ἀποστῇς ἀπ’ ἐμοῦ, ὅτι θλῖψις ἐγγύς,
ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι.
13 περιεκύκλωσάν με μόσχοι πολλοί,
ταῦροι πίονες περιέσχον με·
14 ἤνοιξαν ἐπ’ ἐμὲ τὸ στόμα αὐτῶν

**20: 13.2** ἑτοιμάσεις … αὐτῶν] ἑτοιμάσεις τὸ πρόσωπον, αὐτῶν sic praebet 267 **21: 4.1** ἐν ἁγίῳ] Bo$^{d}$ La Ga *L*’’ (etiam 267) 55 : ἐν ἁγίοις B’Bo$^{d}$ U’-1221 R A **21: 7.2** ἀνθρώπων] S’ U’-1221 R’’ Ga *L*’’ (etiam 267) 55 : ἀνθρώπου B A Tert. et Cyp., ergo Rahlfs **21: 11.2** ἀπὸ γαστρός] *L*′ (etiam 267) : ἐκ κοιλίας rel. codd. **21: 11.2** μοι] add. *L*’’ (etiam 267) 1219 **21: 14.1–2** invertit Philes

καὶ θήσεις τούτων εὐτρεπεῖς τὰς ὄψεις πρὸς αἰσχύνην.
ἐν τῇ δυνάμει σου λαμπρῶς ὑψώθητι, παντάναξ,
ἡμεῖς δε τὸ φρικῶδες σου μεγαλυνοῦμεν κράτος.

**21 – Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς. ψαλμὸς τῷ Δαυίδ**

Ὁ κτίστης καὶ δεσπότης μου, πῶς ἄρα με παρῆκας;
τῆς σωτηρίας μου μακράν· οἱ λόγοι τῶν πταισμάτων.
ἡμέρας σοι κεκράξομαι, σύ δ' ἀλλ' οὐκ εἰσακούσῃ,
νυκτὸς ἀλλ' οὐκ εἰς ἄνοιαν ἔσται μοι τὸ πρακτέον.
σύ δ' ἐν ἁγίῳ κατοικεῖς ὡς Ἰσραήλ τις κρότος.
εἰς σὲ γὰρ ἅπαντες ἡμῶν ἤλπισαν οἱ πατέρες,
παντός δε τούτους δυσχεροῦς ἐλπίσαντας ἐρρύσω
καὶ κράξαντες ἐσώθησαν πρὸς τὸν οἰκτείροντά σε,
οὐδὲ γὰρ κατῃσχύθησαν ἐλπίσαντες ἐκθύμως.
ἐγώ δε σκώληξ εὐτελής, οὐκ ἄνθρωπος τυγχάνω
ἀνθρώπων ὕβρις πονηρῶν καὶ παροινοῦντος δήμου.
οἱ δὲ κακῶς με βλέποντες ἐξεμυκτήρισάν με,
ἐλάλησαν ἐν χείλεσι κεκινηκότες κάραν·
ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω τὸν ἱκέτην,
σωσάτω τοῦτον ἐπιστάς, εἴπερ αὐτὸν ἐθέλοι.
σύ γαρ εἶ πάντως ὁ γαστρὸς ἐκσπάσας με μητρῴας,
ἐκ δὲ σπαργάνων καὶ θηλῆς ἐλπίς μου, παντοκράτορ·
εἰς σέ δε τὸν ἀθάνατον ἐκ μήτρας ἐπερρίφην,
σύ μου θεὸς ἀπὸ γαστρὸς μητρός μου καὶ δεσπότης.
μὴ μακρυνθῇς οὖν ἀπ' ἐμοῦ· τὸ γὰρ λυποῦν ἐγγύθεν
καὶ βοηθὸν ἐν τοῖς δεινοῖς ἄλλον οὐκ ἔχω πλήν σου.
μόσχοι πολλοί με καὶ δεινοὶ κυκλόθεν περιέσχον,
εὐμήκεις δὲ καὶ πίονες ταῦροι με περιέσχον,
ὡς λέων ὠρυόμενος καὶ θήραν ἀφαρπάζων.

---

**21** V (ff. 111v–112r) L (ff. 184v–189r) D (ff. 202rv)

---

**21 tit.** ὁ θεὸς ὁ θεός μου πρόσχες μοι ἵνα τί ἐ add. L : ὁ θεὸς ὁ θεός μου πρόσχες μοι ἵνα τί ἐκγ add. D : Mi.Ps. *Poem.* 1.69–74 in marg. ext. et 75–76 + 77–78 (ed. Westerink, vid. apparatum) in marg. inf. f. 202r D (vid. app. 1) **21.3** οὐκ] οὐχ D **21.15** αὐτόν] αὐτός D **21.16** ἐκσπάσας] ἐκπάσας D **21.22–25** μόσχοι … ἀφαρπάζων] rescripsit D in marg. ext. μόσχοι πολλοί με καὶ δεινοὶ κυκλόθεν περιέσχον, | εὐμήκεις δὲ καὶ πίονες ταῦροι με περιέσχον, | ἤνοιξαν πάντες ἐπ' ἐμὲ τὸ στόμα λοιδοροῦντες, | ὡς ὕδωρ ἐξεχύθη μοι τὰ κῶλα σκορπισθέντα | ὡς λέων ὠρυόμενος καὶ θήραν ἀφαρπάζων **21.23–24** invertit D et corr. litteris

ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.
15 ὡσεὶ ὕδωρ ἐξεχύθην, / [2]καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου,
ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου·
16 ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου,
καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου,
καὶ εἰς χοῦν θανάτου κατήγαγές με.
17 ὅτι ἐκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με,
ὤρυξαν χεῖράς μου καὶ πόδας.
18 ἐξηρίθμησα πάντα τὰ ὀστᾶ μου,
αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
19 διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
20 σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ’ ἐμοῦ,
εἰς τὴν ἀντίληψίν μου πρόσχες. / 21 ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου
καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·
22 σῶσόν με ἐκ στόματος λέοντος
καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.
23 διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε
24 Οἱ φοβούμενοι κύριον, αἰνέσατε αὐτόν,
ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν,
φοβηθήτω δὴ ἀπ’ αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ,
25 ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ
οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ’ ἐμοῦ
καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέν μου.
26 παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ,
τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.
27 φάγονται πένητες καὶ ἐμπλησθήσονται,
καὶ αἰνέσουσιν κύριον οἱ ἐκζητοῦντες αὐτόν·
ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.
28 μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς
καὶ προσκυνήσουσιν ἐνώπιόν αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν,
29 ὅτι τοῦ κυρίου ἡ βασιλεία, / [2]καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.

---

**21: 15.1–2** unus stichus in R’’ SyHe A’’ necnon 267 **21: 20.1** σου ἀπ’ ἐμοῦ] U’ R′ *L*’’ (etiam 267) 1219’ Aug. **21: 20.2** ἀντίλημψιν] fort., ut in H.–P. et 267 : ἀντίλημψιν Rahlfs **21: 24.3** φοβηθήτω … αὐτοῦ] *L*’’ (etiam 267) 1219’ **21: 28.2** αὐτοῦ] codd. : La$^{G}$ et Cyp. σου praebent, ergo Rahlfs **21: 29.1–2** unus stichus in S Sa$^{B}$ R’’ Sy A’’ necnon 267

ἤνοιξαν πάντες ἐπ’ ἐμὲ τὸ στόμα λοιδοροῦντες
ὡς ὕδωρ ἐξεχύθη μοι τὰ κῶλα σκορπισθέντα,
ὡσεὶ κηρὸς ἐτάκη μοι γαστρόθεν ἡ καρδία,
ὡς ὄστρακον ἐξέλιπεν, ἐφρύγη μοι τὸ σθένος, ‖112r
ἡ γλῶσσα μου κεκόλληται παρὰ τῷ λάρυγγί μου,
εἰς χοῦν με δὲ κατήγαγες θανάτου κοσμοφθόρου.
πολλοί με γὰρ ἐκύκλωσαν καὶ ψυχοφθόροι κύνες
καὶ πονηρευομένων με σύστημα περιέσχε,
ὤρυξαν ἅμα χεῖρας μου καὶ πόδας ἐπιστάντες
καὶ πᾶσαν ἐξερύθμισαν τὴν τῶν ὀστῶν μου πλάσιν.
αὐτοί δε κατενόησαν καί με σαφῶς ἐπεῖδον,
ἐμέρισαν εἰς ἑαυτοὺς τὰ περιβλήματά μου,
ἔβαλον δέ μοι τυχηρὸν εἰς τὸν χιτῶνα κλῆρον.
σύ δ’ ἀπ’ ἐμοῦ τὴν ἀρωγήν, ὦ σῶτερ, μὴ μακρύνῃς,
ἀλλὰ προσχὼν ἀντιλαβοῦ καὶ ῥῦσαι με ῥομφαίας
καὶ τὴν ἐμὴν μονογενῆ τῶν κυνικῶν δηγμάτων,
ἐκ λεοντείου στόματος σῶσον με σὺ καὶ θράσους
καὶ τὴν ἐμὴν ταπείνωσιν ἀπὸ μονοκερώτων.
ἀπαγγελῶ τὴν κλῆσιν σου τοῖς ἐμαυτοῦ συγγόνοις,
ὑμνήσω δέ σε μεταξὺ συναγωγῆς ἀνθρώπων.
οἱ δεδοικότες τὸν θεὸν τοῦτον ὑμνεῖτε μόνον,
ἅπαν τὸ γένος Ἰακὼβ τοῦτον δοξάσατέ μοι,
πᾶν δε τὸ γένος Ἰσραὴλ ἐκ τούτου φοβηθήτω,
ἐπείπερ οὐ προσώχθισε τῇ τοῦ πτωχοῦ δεήσει·
οὐδ’ ἀπ’ ἐμοῦ τὸ πρόσωπον ἀπέστρεψε τὸ πρᾶον,
ἐν δὲ τῷ κεκραγέναι με θᾶττον εἰσήκουσέ μου.
ὁ δ’ ἔπαινός μου παρὰ σοῦ καὶ ταύτῃ σε δοξάσω,
ἐκτίσω δέ μου τὰς εὐχὰς πρὸς τῶν φρισσόντων τοῦτον.
φάγωνται πένητες πολλοὶ μετὰ πολλοῦ τοῦ κόρου,
αἰνέσουσι δὲ κύριον οἱ τοῦτον ἐκζητοῦντες·
αἱ σφῶν καρδίαι ζήσονται μέχρι παντὸς αἰῶνος.
μνησθεῖσα δὲ στραφήσεται πᾶσα πρὸς τοῦτον κτίσις
καὶ προσκυνήσουσιν αὐτῷ πάντων ἐθνῶν τὸ σμῆνος·
αὐτοῦ γαρ ἔστι τὸ κρατεῖν καὶ τῶν ἐθνῶν δεσπόζειν.

30 ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς,
ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν.
καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, / 31 καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ·
[...] / [3]ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη,
32 καὶ ἀναγγελοῦσιν τὴν δικαιοσύνην αὐτοῦ
[λαῷ τῷ τεχθησομένῳ, ὅτι ἐποίησεν ὁ κύριος.]

**LXXVII – Συνέσεως τῷ Ἀσάφ**

Προσέχετε, λαός μου, τῷ νόμῳ μου,
κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου·
2 ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου,
φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.
3 ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ
καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν,
4 οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν
ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου
καὶ τὰς δυναστείας αὐτοῦ / [4]καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησεν.
5 καὶ ἀνέστησεν μαρτύριον ἐν Ἰακώβ
καὶ νόμον ἔθετο ἐν Ἰσραήλ,
ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν
τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν,/ 6 ὅπως ἂν γνῷ γενεὰ ἑτέρα,/[2]υἱοὶ οἱ τεχθησόμενοι,
καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν,
7 ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν
καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ
καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσουσιν,
8 ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν
γενεὰ σκολιὰ καὶ παραπικραίνουσα,
γενεά, ἥτις οὐ κατηύθυνεν τὴν καρδίαν ἑαυτῆς
καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς.
9 υἱοὶ Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις
ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.
10 οὐκ ἐφυλάξαντο τὴν διαθήκην τοῦ θεοῦ

**21: 30.3–31.1** unus stichus in S Sy 55 necnon 267 **21: 31.2** om. 267 et non invenitur in MPs. **21: 32.2** non invenitur in MPs. **77: 1.1** τῷ νόμῳ] $L^{a}$ (non THe*) : τὸν νόμον Rahlfs **77: 4.3–4** unus stichus in TSyHe 1219' **77: 5.2–6.2** 6.1 et 6.2 unus stichus in Sa He 55 necnon 267, sed nullum testimonium de coniunctione cum 5.2 : fort. 6.1 om. Philes **77: 8.3** ἑαυτῆς] $L$Tht$^{p}$ 2054 : αὐτῆς B' R $L^{pau}$T-Tht$^{p}$ 1219', ergo Rahlfs **77: 10.1** ἐφυλάξαντο] B 1219 2016 : ἐφύλαξαν Rahlfs

φαγόντες προσεκύνησαν οἱ λιπαροὶ τὸν βίον,
οἱ καταβαίνοντες εἰς γῆν πρόσθεν αὐτοῦ πεσοῦνται.
ζῶ δ’ ᾧπερ ὡς δεσπότῃ μου τὸ σπέρμα μου δουλεύσει.
γνωσθήσεται τῷ κτίσαντι τὸ μετὰ ταῦτα γένος
καὶ φράσουσι τοῖς μεθ’ ἡμᾶς τὴν κατὰ τοῦτον θέμιν.

### 77 – Συνέσεως τῷ Δαυίδ

Τῷ νόμῳ καὶ τοῖς λόγοις μου προσέχετε, λαός μου,
καὶ κλίνατε τὴν ἀκοὴν τοῖσδε τοῖς ῥήμασί μου·
ἐν γὰρ σοφαῖς παραβολαῖς ἀνοίξω μου τὸ στόμα
καὶ φθέγξομαι προβλήματα καὶ τὰς ἀρχῆθεν πράξεις·
ὁπόσας ἐδιδάχθημεν ἰδόντες εἰργασμένας,
ἃς οἱ πατέρες πρὸς ἡμᾶς εἰρήκασι τοὺς παῖδας,
ἐπείπερ οὐκ ἐκρύβησαν εἰς γενεὰν ἑτέραν,
ἀλλ’ ἀπηγγέλησαν εὐθὺς πρὸς δόξαν τοῦ δεσπότου,
ὡς ἔργα καὶ θαυμάσια τῆς τούτου δυναστείας.
ἀνέστησε μαρτύριον ἐν Ἰακὼβ τὸ πρῶτον,
ἐν Ἰσραήλ δε παρευθὺς ἔθετο νόμον θεῖον,
ὃν τοῖς ἡμῶν περιφανῶς ἐξέδοτο πατράσιν,
ὅπως ἂν οὗτος γνωρισθῇ καὶ τοῖς τεχθησομένοις
κἀκεῖνοι πάλιν τοῖς αὐτῶν δηλώσωσι φιλτάτοις
καὶ θῶνται πρὸς τὸν ὕψιστον τὴν τῆς ψυχῆς ἐλπίδα
καὶ λήθην μὴ λαμβάνωσι τῶν ἔργων τοῦ δεσπότου,
ἀλλ’ ἐκζητήσωσιν αὐτοῦ τὰς ἐντολὰς ἐμφρόνως.
ἵνα μὴ γένωνται τοῖς σφῶν παρεμφερεῖς πατράσι·
γένος δεινὸν καὶ σκολιὸν καὶ παροξύνον τοῦτον, ‖112v
γένος μηδόλως βελτιοῦν τὴν ἑαυτοῦ καρδίαν,
ἐπεὶ τὸ τούτου πρὸς αὐτὸν οὐκ ἐπιστώθη πνεῦμα.
παῖδες Ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες ἐν τόξοις,
ὅτε παρῆν ὁ πόλεμος, ἐστράφησαν ἀθρόοι
καὶ γὰρ οὐκ ἐφυλάξαντο τὸν τοῦ δεσπότου νόμον

77 V (ff. 112r–113v) L (ff. 185v–189r)

**77 tit.** ψαλμὸς τῷ Ἀσάφ· προσέχετε λαός μου τῷ νόμῳ· κλίνατε L **77.11** ἔθετο] ἔθετον L

καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι
11 καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ
καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς,
12 ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια
ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως.
13 διέρρηξεν θάλασσαν καὶ διήγαγεν αὐτούς,
παρέστησεν ὕδατα ὡσεὶ ἀσκὸν
14 καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας
καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.
15 διέρρηξεν πέτραν ἐν ἐρήμῳ
καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ
16 καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας
καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.
17 καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ,
παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ
18 καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν
τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν
19 καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπαν
Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;
20 ἐπεὶ ἐπάταξεν πέτραν καὶ ἐρρύησαν ὕδατα
καὶ χείμαρροι κατεκλύσθησαν,
μὴ καὶ ἄρτον δύναται δοῦναι
ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;
21 διὰ τοῦτο ἤκουσεν κύριος καὶ ἀνεβάλετο,
καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ,
καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ,
22 ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ
οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ.
23 καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν
καὶ θύρας οὐρανοῦ ἀνέῳξεν
24 καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν
καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς·
25 ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος,
ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν.
26 ἀπῆρεν νότον ἐξ οὐρανοῦ
καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα

**77: 10.2** ἤθελον ] B′ R He 1219 2016, sed cfr. ἐβουλήθησαν *L*′ 55 2054 **77: 13.2** παρέστησεν ] *L*′ 2054 : ἔστησεν Rahlfs

κατόπιν πορευόμενοι τῶν τούτου προσταγμάτων,
ἀλλ’ ἐπελάθοντο σαφῶς τῶν φιλανθρωπευμάτων
καὶ τῶν δειχθέντων πρὸς αὐτοὺς ἀπείρων τεραστίων.
ἐκ τῶν πατέρων εἰς αὐτοὺς ἐκ τούτου γεγονότων,
ἐν χέρσῳ τῇ κατ’ Αἴγυπτον καὶ Τάνεως πεδίῳ
ῥήξας τὴν θάλασσαν αὐτοὺς ἐξήγαγεν εὐθέως,
ὥσπερ ἀσκὸν παρέστησε τὴν τῶν ὑδάτων χύσιν,
καὶ τούτους καθωδήγησεν ἡμέρας ἐν νεφέλῃ,
νυκτός δε πάσης ἐν φωτὶ καὶ πυριμόρφῳ στύλῳ.
ἔρρηξε πέτραν ἄνικμον ὁ ῥύστης ἐν ἐρήμῳ
καὶ σύμπαντας ἐπότισεν ὡς ἐν ἀβύσσοις τούτους,
ὕδωρ ἐξήγαγεν αὐτοῖς ἐξ ἀκροτόμου χύδην
καὶ ῥείθρων πάλιν ὀχετοὺς ὡς ποταμοὺς ὑδάτων.
οἱ δὲ προσέθεντο δεινῶς πρὸς τοῦτον ἁμαρτάνειν
καὶ παρεπίκραναν αὐτὸν ἐν τοῖς ἀνίκμοις τόποις
καὶ τοῦτον ἐξεπείρασαν ἐν ταῖς αὐτῶν καρδίαις,
μετὰ δ’ ἐκεῖνο τὸ ποτὸν ᾐτήσαντο καὶ βρῶσιν
καὶ τούτου κατελάλησαν εἰπόντες τοῦ δεσπότου·
«μὴ δύναται καὶ τράπεζαν ἐρημικὴν ἀρτύσαι;»
ἐπείπερ πέτραν ἔρρηξεν εἰς ποταμῶν ἐκχύσεις
καὶ τούτων κατεκλύσθησαν οἱ χείμαρροι τῇ ῥύμῃ.
«μὴ καὶ τὸν ἄρτον δύναται βραβεῦσαι τοῖς προσπείνοις
ἢ τράπεζαν ἀρκέσουσαν τοῖς δήμοις ἑτοιμάσαι;»
τούτων ἀκούσας ὁ κοινὸς δεσπότης ὑπερεῖδε
καὶ πῦρ ἀνήφθη παρευθὺς τὸν Ἰακὼβ συμφλέγον
καί τις ὀργὴ τὸν Ἰσραὴλ κατέσχε δαπανῶσα,
ἐπείπερ οὐκ ἐπίστευσαν τῷ τοῦ δεσπότου κράτει,
οὐδ’ ἤλπισαν οἱ τάλανες ἐπὶ τὸν σεσωκότα.
πλὴν αὖθις ἐνετείλατο νεφέλαις ὁ δεσπότης
καὶ θύρας ἤνοιξεν εὐθὺς ἐκείνοις οὐρανίους
καὶ μάννα πᾶσι ἔβρεξεν ὥστε φαγεῖν εἰς κόρον·
ἄρτον δὲ τούτοις οὐρανοῦ τοῖς γογγυσταῖς ἀφῆκεν,
ἄρτον δ’ ἀγγέλων ἄνθρωπος εὐωχηθείς ἐφάνη
καὶ πάλιν ἐπεσίτισεν εἰς πλησμονὴν καὶ θρύψιν.
ἀπῆρε νότον ἰσχυρὸν ἐξ οὐρανοῦ προσφάτως
καὶ μετ’ αὐτὸν ἐπήγαγεν ὡς πανσθενὴς τὸν λίβα

**77.64** λίβα] em. : λῖβα V

27 καὶ ἔβρεξεν ἐπ’ αὐτοὺς ὡσεὶ χοῦν σάρκας
καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά,
28 καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν
κύκλῳ τῶν σκηνωμάτων αὐτῶν,
29 καὶ ἐφάγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα,
καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς,
30 οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν.
ἔτι τῆς βρώσεως [αὐτῶν] οὔσης ἐν τῷ στόματι αὐτῶν
31 καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ’ αὐτοὺς
καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν
καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.
32 ἐν πᾶσιν τούτοις ἥμαρτον ἔτι
καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ,
33 καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν
καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.
34 ὅταν ἀπέκτεινεν αὐτούς, ἐξεζήτουν αὐτὸν
καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεὸν
35 καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστιν
καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν.
36 καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν
καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ,
37 ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ’ αὐτοῦ,
οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.
38 αὐτὸς δέ ἐστιν οἰκτίρμων / [2]καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν ¦
[2]καὶ οὐ διαφθερεῖ
καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ
καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ·
39 καὶ ἐμνήσθη ὅτι σάρξ εἰσιν,
πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.
40 ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ,
παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;
41 καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεὸν
καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν.
42 οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ,

---

77: **30.2** αὐτῶν] om. Sa La *L′* 1219’ 77: **31.2** πλείοσιν] vid. apparatum H.–P. et Rahlfs : πίοσιν H.–P. et Rahlfs 77: **34.1** ἀπέκτεινεν] sive ἀπέκτειναν *L′* (etiam 267) : ἀπέκτεννεν B′ R THe 55, ergo Rahlfs **77: 36.1** ἠγάπησαν] universi codd. : ἠπάτησαν em. Grabe et accepit Rahlfs **77: 38.1–2** unus stichus (una cum καὶ οὐ διαφθερεῖ) THe 1219 necnon 267

καὶ σάρκας ἔβρεξεν αὐτοῖς, ὥσπερ τὸν χοῦν τὸν κάτω,
καὶ κατὰ ψάμμον θαλασσῶν ἀγγέλας ὑποπτέρους
καὶ τῆς αὐτῶν παρεμβολῆς πεπτώκασιν ἐν μέσῳ
καὶ σωρηδὸν ἐπέθησαν κύκλῳ τῶν σκηνωμάτων
καὶ πάντες ἐνεπλήσθησαν τοῦ βρώματος ἐκείνου
καὶ ταύτην ἤνεγκεν αὐτοῖς τὴν ἔφεσιν ὁ πλάσας
καὶ γὰρ οὐκ ἐστερήθησαν τῶν ἐξεζητημένων.
ἔτι δὲ ταύτην ἔχοντας τὴν βρῶσιν εἰς τὸ στόμα
ὀργή τις ἦλθεν ἐπ’ αὐτοὺς εἰς ὕψος ὑπερβᾶσα
καὶ τούτων ἐξηφάνισε τοὺς μείζους τὲ καὶ πλείους,
τοῦ δ’ Ἰσραὴλ τοὺς ἐκλεκτοὺς αἰσχύνασα καθεῖλεν.
ἐν πᾶσι τούτοις ἥμαρτον οἱ παραβλῶπες ἔτι,
οὐ γὰρ ἐπίστευσαν αὐτοῦ τοῖς ὑπὲρ νοῦν πρακτέοις.
αἱ τούτων δὲ πρὸς τὸ μηδὲν ἐξέλιπον ἡμέραι
καὶ σπεύσας ἀπογέγονεν ὁ κατ’ ἐκείνους βίος.
ὅταν ἀπέκτεινεν αὐτούς, τοῦτον ἐζήτουν τότε
καὶ πρὸς αὐτὸν ὀρθρίζοντες ἐπέστρεφον τὸν ῥύστην,
ἐπείπερ ἀνεμνήσθησαν ὡς ἀρωγὸς ἐκεῖνος ‖113r
καὶ μόνος ὕψιστος ἐστὶ καὶ λυτρωτὴς ἐν πᾶσι,
καὶ τοῦτο ἐν τοῖς στόμασιν ἠγαπηκότες μόνον
ὡς γογγυσταὶ καὶ δυσμενεῖς ἐψεύσαντο τῇ γλώσσῃ,
ἡ δὲ σφετέρα πρὸς αὐτὸν οὐκ εὐσεβὴς καρδία
καὶ γὰρ οὐδ’ ἐπιστώθησαν τῇ τούτου διαθήκῃ.
αὐτός δε πάλιν εὐμενὴς πρὸς τοὺς ἡμαρτηκότας,
οὐ γὰρ φθερεῖ τοὺς πονηρούς, ἀλλ’ ἀνεξικακήσει
καὶ πληθυνεῖ μὲν τὸν θυμὸν εὐσπλάγχνως ἀποστρέψαι,
αὐτοῦ δε πᾶσαν τὴν ὀργὴν οὐ παρευθὺς ἐκκαύσει.
ἐμνήσθη γὰρ ὡς σάρξ εἰσι καὶ χαμερπεῖς τὸν τρόπον
καὶ πνεῦμα πορευόμενον, οὐκ ἐπιστρέφον δ’ ὅμως.
ποσάκις παρεπίκραναν αὐτὸν ἐν ταῖς ἐρήμοις,
ποσάκις δὲ παρώργισαν ἐν τοῖς ἀνύδροις τόποις
καὶ πάλιν ἐπιστρέψαντες ἐπείρασαν τὸν κτίστην,
τοῦ δ’ Ἰσραὴλ τὸν ἅγιον παρώξυναν ἀφρόνως·
οὐ γὰρ ἐμνήσθησαν αὐτοῦ τῆς φοβερῆς ἰσχύος,

**77.64** ἐπέθησαν] ἐτέθησαν LD

ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος,
43 ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ
καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως·
44 καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν
καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν·
45 ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς,
καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς·
46 καὶ ἔδωκεν τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν
καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι·
47 ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν
καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ·
48 καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν
καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί·
49 ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ,
θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, / [3]ἀποστολὴν δι’ ἀγγέλων πονηρῶν·
50 ὡδοποίησεν τρίβον τῇ ὀργῇ αὐτοῦ,
οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν
καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισεν
51 καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ,
ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.
52 καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ
καὶ ἀνήγαγεν αὐτοὺς ὡς ποίμνιον ἐν ἐρήμῳ
53 καὶ ὡδήγησεν αὐτοὺς ἐπ’ ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν,
καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν θάλασσα.
54 καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὅριον ἁγιάσματος αὐτοῦ,
ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ,
55 καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη
καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας
καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.
56 καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον
καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο
57 καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν
καὶ μετεστράφησαν εἰς τόξον στρεβλὸν
58 καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν
καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.

**77: 46.1** τοὺς καρπούς] La[R] *Ga L’’* (etiam 267) : τὸν καρπόν B’’ Sa R’Aug He* 1219’, ergo Rahlfs **77: 49.2** sic praebet 267 **77: 53.1** ἐπ’ ἐλπίδι] *L′*-1046 (etiam 267) : ἐν ἐλπίδι B′ R 55, ergo Rahlfs **77: 57.1** ἠθέτησαν] R *L’’* (etiam 267) Su-1046(vid.) 1219’ : ἠσυνθέτησαν B′, *non servaverunt pactum* GaHiAug, ergo Rahlfs

ἡμέρας, ἧς ἐρρύσατο τῶν ἐνοχλούντων τούτους,
ὡς ἔθετο κατ’ Αἴγυπτον ἐκεῖνα τὰ σημεῖα
καὶ τὰ πολλὰ τεράστια Τάνεως ἐν πεδίῳ·
καὶ δὴ μετέστρεψεν αὐτῶν τοὺς ποταμοὺς εἰς αἷμα
καὶ τοὺς ἐξ ὄμβρων ὀχετοὺς μήτις ἐντεῦθεν πίον,
ἔπεμψε δὲ κυνόμυιαν καὶ βέβρωκεν ἐκείνους
καὶ βάτραχον εἰς ὄλεθρον ἐπήγαγεν ἐντεῦθεν
καὶ πᾶσαν τούτων τοῖς καρποῖς ἐνῆκεν ἐρυσίβην
καὶ ταῖς ἀκρίσι προύθηκεν τοὺς ἐν ταῖς χώραις πόνους
καὶ τούτων ἐξελίκμησε χαλάζῃ τὰς ἀμπέλους
καὶ πάχνῃ κατεμάρανε τὰς τούτων συκαμίνους
καὶ πάλιν τὰ βοσκήματα συνέτριψε χαλάζῃ
καὶ πᾶσαν ἐπυρπόλησε τῶν γογγυστῶν τὴν κτῆσιν.
ἔπεμψε τούτοις ἐν θυμῷ τὰς τῆς ὀργῆς ἐκφάσεις,
ὀργὴν καὶ θλίψιν καὶ θυμὸν ἐκ πονηρῶν ἀγγέλων
καὶ τῇ προσχύσει τῆς ὀργῆς ἔτεμε ῥύμης τρίβον
καὶ τὰς ψυχὰς τῶν πονηρῶν παρέδωκε θανάτῳ,
ὀλέθρῳ τούτων παρευθὺς ἠφανικὼς τὰ κτήνη.
ἁπλῶς δε πᾶν πρωτότοκον ἐπάταξεν Αἰγύπτου
κἀν τοῖς σκηνώμασι τοῦ Χὰμ τὴν ἀπαρχὴν τῶν πόνων,
ἀπῆρε δ’ οὖν ὡς πρόβατα τὸν δῆμον τὸν οἰκεῖον
καὶ συμπαθῶς ἀνήγαγεν ὡς ποίμνην ἐν ἐρήμῳ
καὶ τούτους καθωδήγησεν ἀφόβως ἐπ’ ἐλπίδι
καὶ θάλασσᾳ κατέκρυψε τοὺς δυσμενεῖς ἐκείνων
καὶ τούτους ἁγιάσματος εἰσήγαγεν εἰς ὄρος,
ὄρος κτηθὲν τῇ δεξιᾷ τῆς κατ’ αὐτὸν ἰσχύος.
ἔθνη δ’ ἐξέβαλεν εὐθὺς ἀπὸ τοῦ σφῶν προσώπου
καὶ κατεκληροδότησε τούτους ἐν σχοίνῳ κλήρων
καὶ τούτων κατεσκήνωσε τὸν Ἰσραὴλ τοῖς δόμοις,
καὶ πάλιν παρεπίκραναν πειράσαντες τὸν κτίστην
καὶ τούτου τὰ μαρτύρια τὰ σωστικὰ παρεῖδον,
καθάπερ οἱ γεννήτορες ἠθετηκότες τάδε
εἰς δὲ στρεβλὸν ἐστράφησαν μετατεθέντες τόξον.
ἐν τοῖς σφετέροις δὲ βουνοῖς παρώργισαν τὸν ῥύστην
καὶ παρεζήλωσαν αὐτὸν ἐν τοῖς γλυπτοῖς ἀφρόνως.

59 ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδεν
καὶ ἐξουδένωσεν σφόδρα τὸν Ἰσραὴλ
60 καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ,
σκήνωμα αὐτοῦ, οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.
61 καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν
καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν
62 καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ
καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν.
63 τοὺς νεανίσκους αὐτῶν κατέφαγεν πῦρ,
καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν·
64 <καὶ> οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν,
καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται.
65 καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος,
ὡς δυνατὸς <καὶ> κεκραιπαληκὼς ἐξ οἴνου,
66 καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω
ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.
67 καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ
καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο·
68 καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα,
τὸ ὄρος τὸ Σιών, ὃ ἠγάπησεν,
69 καὶ ᾠκοδόμησεν ὡς μονοκέρωτος τὸ ἁγίασμα αὐτοῦ,
ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
70 καὶ ἐξελέξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ
καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων,
71 ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν
ποιμαίνειν Ἰακὼβ τὸν λαὸν αὐτοῦ
καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ,
72 καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ
καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.

## LXXVIII – Ψαλμὸς τῷ Ἀσάφ

Ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου,

**77: 61.2** ἐχθρῶν] Bo R *L*′ (etiam 267) 1219’ : ἐχθροῦ B′ Sa La Ga TSy, ergo Rahlfs **77: 62.1** ἐν ῥομφαίᾳ] *L*ᵃ (non THe*, dub. Sy, etiam 267), compares huic sticho et MPs. 77.136 ad Ps. 77: 64.1 et MPs. 77.140 : εἰς ῥομφαίαν Rahlfs **77: 63.2** ἐπενθήθησαν] *L*′ 55 (ergo Rahlfs), sed cfr. etiam ἐπένθησαν B’’ Sa R Sy necnon 267 **77: 64.1** καί] add. 267 **77: 65.2** καί] add. *L*’’(non T, etiam 267), ubi tamen κραιπαληκώς (sic) est **77: 69.1** μονοκέρωτος] Bo Sa-1093 *L*’’ (etiam 267) 1219 : μονοκερώτων B′ He* *unicornuorum* La[G]Aug *unicornium* Ga, ergo Rahlfs

ἤκουσε τοίνυν ὁ θεὸς κἀντεῦθεν ὑπερεῖδε
καὶ τοῦτον δὴ τὸν Ἰσραὴλ ἐξουδενώσας μάλα
τὴν τοῦ Σαλὼμ καταγωγὴν ἀπώσατο δικαίως
καὶ τὴν ἐκ τούτων – ὡς εἰπεῖν – ἀνθρώπων οἰκουμένην
καὶ τέθεικεν αἰχμάλωτον ἅπαν αὐτῶν τὸ κράτος ‖[113v]
καὶ τὴν προσοῦσαν καλλονὴν εἰς χεῖρας ἀλλοτρίων
καὶ παρευθὺς συνέκλεισε τοὺς γογγυστὰς ῥομφαίᾳ
καὶ μετ’ ὀργῆς περιφανοῦς τὸν κλῆρον ὑπερεῖδε.
πῦρ δε κατέφαγεν αὐτῶν τοὺς νεανίσκους χύδην,
οὐδείς δε τούτων ἔκλαυσε θανούσας τὰς παρθένους,
ἀλλὰ καὶ τούτων μάχαιρα κατέθυσε τοὺς θύτας,
ἀκλαύστους δὲ παρέδραμον τὰς μονωθείσας χήρας.
καὶ πάλιν ὥσπερ τις ὑπνῶν ὁ ῥύστης ἐξηγέρθη,
ὡς δυνατὸς καὶ φοβερὸς ἐξ οἴνου κραιπαλήσας,
καὶ πάντας τούτων τοὺς ἐχθροὺς ἐπάταξε κατόπιν,
δοὺς ὄνειδος ἀθάνατον τοῖς ἐπιτιθεμένοις.
τὴν δὲ σκηνὴν τὴν Ἰωσὴφ παρῆκεν ἀπωσμένην
καὶ τὴν φυλὴν τὴν ἐξ Ἐφραὶμ ἀφῆκεν ὑβρισμένην.
μόνην Ἰούδα τὴν φυλὴν ἔσχεν ἐξειλεγμένην,
ὡς ὄρος ἄντικρυς Σιὼν ἠγαπημένον τούτῳ
καὶ μονοκέρωτος αὐτὸ δειμάμενος σεμνεῖον
ἐθεμελίωσεν αὐτὴν ἐπὶ παντὶ τῷ χρόνῳ,
κἀντεῦθεν ἐξελέξατο μόνον Δαυὶδ τὸν δούλον
ἀναλαβὼν ἐκ τῆς νομῆς τῶν τοῦ πατρὸς ποιμνίων
κατόπιν δ’ ἔλαβεν αὐτὸν τῶν ἁπαλῶν ἀρνίων,
ὥστε ποιμαίνειν Ἰακὼβ τὸν ποθεινὸν οἰκέτην,
καθάπερ καὶ τὸν Ἰσραὴλ τὸν τούτῳ κληρωθέντα.
ὃς πάντας τούτους τῆς ψυχῆς ἐποίμανε τῷ πράῳ
καὶ τῇ συνέσει τῶν χειρῶν ὡδήγησεν εὐσκόπως.

## 78 – Ψαλμὸς τῷ Ἀσάφ

Εἰς τὴν κληρονομίαν σου πλῆθος ἐθνῶν ἐρρύη,

---

**78** V (f. 113v) L (ff. 189rv)

---

**78 tit.** εἰς τὸ τέλος τῷ Ἀσάφ· ὁ θεὸς ἤλθωσαν ἔθνη εἰς τὴν κληρονομίαν L

ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου,
ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον.
2 ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου / 2βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ,
τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς·
3 ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ
κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.
4 ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.
5 ἕως πότε, κύριε, ὀργισθήσῃ εἰς τέλος,
ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;
6 ἔκχεον τὴν ὀργήν σου ἐπὶ ἔθνη τὰ μὴ γινώσκοντά σε
καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο,
7 ὅτι κατέφαγον τὸν Ἰακὼβ / 2καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
8 μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων·
ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου,
ὅτι ἐπτωχεύσαμεν σφόδρα. / 9 βοήθησον ἡμῖν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν·
ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, κύριε, ῥῦσαι ἡμᾶς
καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου,
9 μήποτε εἴπωσιν τὰ ἔθνη Ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;
καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν
ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.
10 εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων,
κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου
περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.
11 ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν
τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, κύριε.
12 ἡμεῖς δὲ λαός σου καὶ πρόβατα [τῆς] νομῆς σου
ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα,
εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

### LXXIX – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου

2 Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες,

**78: 2.1–2** unus stichus B′ Sa He 55 necnon 267 **78: 7.1–2** duo stichi T, unus rel. codd. **78: 8.3–9.1** stichos iungit 267 **78: 11.1** εἰσελθέτω] *L′* : εἰσελθάτω B′ R T 1219’, ergo Rahlfs **78: 13.1** τῆς] om. R *L′* (etiam 267) 1219’ : add. B′ Sy, ergo Rahlfs

ἐμίανάν σου τὸν ναὸν τὸν ἡγνισμένον τόπον,
ὡς ὀπωροφυλάκιον ἔθεντο σοῦ τὴν πόλιν,
τὰ λείψανα τῶν δούλων σου τοῖς ὑποπτέροις βρῶσιν,
τὰς σάρκας τῶν ὁσίων σου τοῖς ἐν τῇ γῇ θηρίοις,
τὸ δ’ αἶμα τούτων οἱ σφαγεῖς ἐξέχεαν ὡς ὕδωρ
κύκλῳ Σιὼν τῆς ἀγαθῆς, οὗπερ οὐκ ἦν ὁ θάπτων.
γεγόναμεν εἰς ὄνειδος τοῖς ἐκ γειτόνων μέγαν,
μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ προσοικοῦσιν.
πλὴν μέχρι τίνος, ὁ χρηστός, εἰς τέλος ὀργισθήσῃ,
ὡς πῦρ ὁ σὸς καυθήσεται πάντα συμφλέγων ζῆλος;
ἔκχεον δή σου τὴν ὀργὴν τοῖς μὴ γινώσκουσί σε
καὶ βασιλείαις ταῖς τὴν σὴν ἀθετησάσαις κλῆσιν,
φαγόντες γὰρ τὸν Ἰακὼβ ἔθεντο χέρσον τοῦτον.
μὴ μνησθῇς τῶν καθ’ ἡμᾶς ἀνομιῶν ἀρχαίων,
ἐν ταχυτῆτι πρὸς ἡμᾶς τοὺς οἰκτιρμούς σου πρόες,
ὅτι πτωχοὶ γεγόναμεν, δὸς ἀρωγὴν τοῖς δούλοις.
σοῦ δὲ τῆς δόξης ἕνεκεν πάντας εὐσπλάγχνως ῥῦσαι
τῆς σῆς δὲ χάριν κλήσεως δὸς ἱλασμὸν πταισμάτων,
μήπου τις εἴποι δυσμενής· «ποῦ τούτων ὁ δεσπότης;.»
γνωσθήτω δ’ ἐν τοῖς ἔθνεσι πρὸ τῶν κοινῶν ὀμμάτων
ἡ τῶν αἱμάτων ἔκδικος τῶν δούλων σου σφοδρότης,
ὁ στεναγμὸς τῶν ἐν δεσμοῖς σοῦ πρόσθεν εἰσελθέτω.
πρὸς δὲ τὴν τοῦ βραχίονος τοῦ σοῦ μεγαλωσύνην
σῶσον, ὡς οἶδας, τοὺς υἱοὺς τῶν τεθανατωμένων,
ἑπταπλασίονα φθορὰν τοῖς γείτοσιν ἀπόδος
καὶ πάντα τὸν ὀνειδισμόν, ὅνπερ ὠνείδισάν σε.
ἡμεῖς δε κλῆρος σός ἐσμεν καὶ πρόβατα νομῆς σου.
ἀνθομολογησόμεθα σοὶ γὰρ εἰς τὸν αἰῶνα,
εἰς γενεὰν καὶ γενεὰν ἐροῦμεν σου τὸ κράτος.

**79 – Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων· μαρτύριον τῷ Ἀσάφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου**

Ποιμαντικῶς τὸν Ἰσραὴλ ὁ διεξάγων, πρόσχες,

**79** V (ff. 113v–114r) L (ff. 189v–190v)

**79 tit.** τῷ Ἀσάφ ὑπὲρ τοῦ Ἀσσυρίου· ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες L

ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ,
ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶν, ἐμφάνηθι.
3 ἐναντίον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσή
ἐξέγειρον τὴν δυναστείαν σου / [3]καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
4 ὁ θεός, ἐπίστρεψον ἡμᾶς
καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
5 κύριε ὁ θεὸς τῶν δυνάμεων,
ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου,
6 ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων
καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;
7 ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν,
καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
8 κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς
καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.
9 [διάψαλμα] ἄμπελον ἐξ Αἰγύπτου μετῆρας,
ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν·
10 ὡδοποίησας ἔμπροσθεν αὐτῆς
καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, ¦
[2]ἐπλήρωσεν τὴν γῆν
11 ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς
καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ·
12 ἐξέτεινεν τὰ κλήματα αὐτῆς ἕως θαλάσσης
καὶ ἕως ποταμοῦ τὰς παραφυάδας αὐτῆς.
13 ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς
καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;
14 ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, / [2]καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.
15 ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή,
ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε
καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην
16 καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου,
καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.
17 ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη·
ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.
18 γενηθήτω ἡ χείρ σου ἐπ’ ἄνδρα δεξιᾶς σου

**79: 2.2** πρόβατον] Vulg. *L*’’ (etiam 267) 55 : πρόβατα B’’ Sa-1093 La Ga, ergo Rahlfs **79: 5.2** τῶν δούλων] Sa *L* (etiam 267) 55 : τοῦ δούλου B’’ R’’ Ga Tht’ 2004, ergo Rahlfs **79: 10.2** ἐπλήρωσεν … γήν] GaAug *L*’’ 1219 2004, necnon La$^{G}$ : ἐπλήσθε ἡ γῆ B’’ Sa R′ He* 55 **79: 14.1** ὗς] R *L*′ (etiam 267) A’’ 2004 : σῦς B′, ergo Rahlfs **79: 15.2** ἴδε] H.–P. et 267 : ἰδὲ Rahlfs

ὁ ποδηγῶν τὸν Ἰωσὴφ ὡς πρόβατον εἰς χλόην,
ὁ θρόνον σχὼν τὰ Χερουβὶμ ἐμφάνηθι, παντάναξ,
Ἐφραίμ τε καὶ Βενιαμὶν καὶ Μανασσὴν ἐκτρίβων, ‖114r
ἐξέγειρόν σου τὴν ἰσχὺν καὶ σῶσον τοὺς ἱκέτας,
ἐπίστρεψον ὁ πλαστουργὸς πάντας ἡμᾶς, ὡς οἶδας,
καὶ δεῖξον σου τὸ πρόσωπον καὶ σωθησόμεθά σοι.
ὁ τῶν δυνάμεων θεός, οὗ θαυμαστὸν τὸ κράτος,
μέχρι σοι τίνος ἐπ’ ὀργὴν ἡ προσευχὴ τῶν δούλων;
ἡμᾶς δακρύων ψωμιεῖς ἄρτον παιδεύων πράως
καὶ ποτιεῖς ἐν δάκρυσιν ἐν μέτρῳ φιλανθρώπως,
ἔθου τοῖς γείτοσιν ἡμᾶς εἰς ἀντιλογίαν,
ἡμᾶς γαρ ἐμυκτήρισαν οἱ δυσμενεῖς ἀφρόνως.
ἐπίστρεψον, ὁ πλαστουργός ὁ δυνατός, ἐν πᾶσι
καὶ δεῖξον σου τὸ πρόσωπον καὶ σωθησόμεθά σοι.
εὐκληματοῦσαν ἄμπελον μετῆρας Αἰγυπτόθεν,
ῥίζας ἐθνῶν ἐξέβαλες καὶ ταύτην κατηρτίσω,
ἔμπροσθεν ταύτης εὐμαρεῖς ἐπεσκευάσω τρίβους
καὶ κατεφύτευσας αὐτῆς τὰς ῥίζας φιλοπόνως,
καὶ τῆς ἐκ βάθους προκοπῆς ἐπλήρωσε τὴν κτίσιν·
ὄρη δὲ ταύτης ἡ σκιὰ καλύπτειν ἠδυνήθη,
αἱ ταύτης δὲ τὰς τοῦ θεοῦ κέδρους ἀναδενδράδες.
ἐξέτεινε τὰ κλήματα καὶ τὰς παραφυάδας
ἕως θαλάσσης ἁλμυρᾶς καὶ ποταμῶν ἡδέων,
ἕνεκα τίνος τὸν φραγμὸν καθεῖλες τῆς ἀμπέλου,
ἣν καὶ τρυγῶσιν ἅπαντες οἱ πέλας ὁδοιπόροι;
ὗς ταύτην εἶλεν ἐκ δρυμοῦ καὶ μονιὸς ἐτράφη.
ὁ τῶν δυνάμεων θεός, ἐπίστρεψον, ὡς οἶδας,
ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ τοὺς ἱκέτας ἴδε,
ἐπίσκεψαι τὴν ἄμπελον τὴν περιφρονηθεῖσαν,
ἣν τῇ χειρὶ πεφύτευκας δεῖξον ἀπηρτισμένην,
εἰς ὅνπερ ἐκραταίωσας φίλον ἀνθρώπῳ τόκον.
καὶ γὰρ ἀνέσκαπται μικροῦ καταπεπυρισμέναι,
ἀπὸ δ’ ἐπιτιμήσεως ὀλοῦνται σου τῆς θέας.
ἐπ’ ἄνδρα σοῦ τῆς δεξιᾶς ἡ χείρ σου γενηθήτω,

**79.13** una syllaba deest et spatium inter ἡμᾶς et εἰς posuit V

καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ·
19 καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ,
ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα.
20 κύριε ὁ θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς
καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα.

## LXXX – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Ἀσάφ

2 Ἀγαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν,
ἀλαλάξατε τῷ θεῷ Ἰακώβ·
3 λάβετε ψαλμὸν καὶ δότε τύμπανον,
ψαλτήριον τερπνὸν μετὰ κιθάρας·
4 σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι,
ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν·
5 ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστὶν / [2]καὶ κρίμα τῷ θεῷ Ἰακώβ.
6 μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν
ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου·
γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν·
7 ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ,
αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.
8 Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε·
ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος,
ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.
9 [διάψαλμα] ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι·
Ἰσραήλ, ἐὰν ἀκούσῃς μου,
10 οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, / [2]οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ·
11 ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου
ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου·
πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.
12 καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου,
καὶ Ἰσραὴλ οὐ προσέσχεν μοι·
13 καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν,
πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
14 εἰ ὁ λαός μου ἤκουσέν μου,

---

**80 tit.** ψαλμὸς τῷ Ἀσάφ] sic S R′Aug Vulg *L* (etiam 267) Tht$^{p}$ 55

εἰς ὅνπερ ἐκραταίωσας φίλον ἀνθρώπῳ τόκον,
ἵνα μὴ δέ ποτε τῶν σῶν κριμάτων ἀποστῶμεν.
ἡμᾶς ζωώσεις καὶ τὴν σὴν μεγαλυνοῦμεν κλῆσιν,
ὁ τῶν δυνάμεων θεός, ἐπίστρεψον, ὡς οἶδας,
καὶ δεῖξον σου τὸ πρόσωπον καὶ σωθησόμεθά σοι.

## 80 – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Ἀσάφ

Ἀγαλλιᾶσθε τῷ θεῷ, τῷ βοηθῷ τῶν δούλων,
ἀλαλαγμοῖς τὸν Ἰακὼβ δοξάσατε δεσπότην,
λαβόντες εὔηχον ψαλμὸν τύμπανον θέλγον δότε
μετὰ κιθάρας ἐμμελοῦς ᾆσμα τερπούσης λύρας,
ἐν σάλπιγγι σαλπίσατε κατὰ νεομηνίαν
ἢ καὶ πανήγυριν ἡμῶν, ὡς εὔσημον ἡμέραν.
πρόσταγμα γὰρ ἐν Ἰσραήλ, ἐν Ἰακὼβ δὲ κρῖμα,
τῷ δ’ Ἰωσὴφ μαρτύριον ἔθετο τοῦτο μέγα
ἐν τῷ καὶ τοῦτον ἐξελθεῖν τῆς Αἰγυπτίων χώρας.
ἤκουσε μάλα συνετῶς ἥνπερ οὐκ ἔγνω γλῶσσαν·
«ἀπέστησε τῶν ἄρσεων τὸν νῶτον τὸν οἰκεῖον,
αἱ τούτου δεδουλεύκασιν ἐν τῷ κοφίνῳ χεῖρες,
ἐπεκαλέσω με θλιβείς, ἐγώ δε σέσωκά σε,
ἐν ἀποκρύφῳ λαίλαπος θᾶττον ἐπήκουσά σου,
ὡς ὕδωρ ἀντὶ φθέγματος εὖ δεδοκίμακά σε.
ἄκουσον, ἅπας μου λαός, καὶ φθέγξομαι βεβαίως·
ἐὰν ἀκούσῃς Ἰσραὴλ σέβας, οὐ κτήσῃ νόθον,
οὐδὲ θεὸν ἀλλότριον προσφάτως προσκυνήσεις.
ἐγώ γαρ κύριος ὁ σὸς, ἐγώ δε καὶ θεὸς σου, ‖114v
ὅς σε τῆς γῆς ἐξήγαγον τῶν Αἰγυπτίων σῶον,
πλάτυνον δὴ τὸ στόμα σου, δείξω γὰρ τοῦτο πλῆρες.
ὁ δὲ λαός μου τῆς φωνῆς ταύτης οὐκ ἤκουσέ μου,
οὐδ’ Ἰσραὴλ ὁ ποθεινὸς προσέσχε μου τοῖς λόγοις
καὶ τούτοις ἐξαπέστειλε κατὰ τὰς σφῶν καρδίας,
οἳ τοῖς ἐπιτηδεύμασι πορεύσονται τοῦ τρόπου.
ἂν ὁ λαός μου τῶν ἐμῶν εἰσήκουσε ῥημάτων,

**80** V (ff. 114rv) L (ff. 190v–191r)

**80 tit.** εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ· ἀγαλλιᾶσθε τῷ θεῷ βοηθῷ ἡμῶν L **80.12** κοφίνῳ] κωφίνῳ VL

Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη,
15 ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα
καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον <ἂν> τὴν χεῖρά μου.
16 οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ,
καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.
17 καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ
καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.

### **XXII – Ψαλμὸς τῷ Δαυίδ**

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.
2 εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν,
ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέν με,
3 τὴν ψυχήν μου ἐπέστρεψεν. / [2]ὡδήγησέν με ἐπὶ τρίβους δικαιοσύνης
ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.
4 ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου,
οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ’ ἐμοῦ εἶ·
ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν.
5 ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με·
ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου,
καὶ τὸ ποτήριόν σου μεθύσκον <με> ὡς κράτιστον.
6 καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν.

### **XXIII – Ψαλμὸς τῷ Δαυίδ· τῆς μιᾶς σαββάτων**

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς,
ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ·
2 αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν
καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.
3 τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου
ἢ καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;

---

**80: 15.2** ἄν ] add. *L′* (etiam 267) A′ **22: 5.3** με ] add. *L′* (etiam 267) **23: 3.2** ἤ ] vid. apparatum H.–P. (etiam 267) : καί Rahlfs

ἂν Ἰσραὴλ ἐν ταῖς ἡμαῖς νῦν ἐπορεύθη τρίβοις,
πάντας ἂν ἐταπείνωσα τοὺς ἐναντίους τούτους
καὶ πᾶσιν ἂν ἐπέβαλον τοῖς θλίβουσι τὴν χεῖρα.
οἱ τῷ δεσπότῃ δυσμενεῖς ἐψεύσαντο σὺν δόλῳ,
ἔσται δ’ οὖν τούτων ὁ καιρὸς μέχρι παντὸς αἰῶνος,
ἐψώμισεν ἐκ στέατος τούσδε πυροῦ προσκόρως
καὶ μέλι χαρακόβλυστον ἐχόρτασεν ἀφθόνως.»

### 22 – Ψαλμὸς τῷ Δαυὶδ πρὸς νέου λάου εἰσαγωγήν

Κύριος δὴ ποιμαίνει με καὶ τίνος με στερήσει;
ἐκεῖ με κατεσκήνωσεν εἴς τινα χλόης τόπον
ἐφ’ ὕδατος ἀνέσεως, οὗπερ ἐξέθρεψέ με·
ἐπέστρεψέ μου τὴν ψυχὴν εἰς τὰς τῆς δίκης τρίβους,
ὅπως ἡ τούτου δοξασθῇ παρὰ τοῖς ἔργοις κλῆσις.
ἂν γὰρ ἐν μέσῳ καὶ σκιᾶς ἐλεύσομαι θανάτου,
οὐ φοβηθήσομαι κακά· σύ με γὰρ τούτων σώζεις.
ῥάβδῳ με παρεκάλεσας ἀλλὰ καὶ βακτηρίᾳ,
ἡτοίμασάς μοι τράπεζαν τοὺς δυσμενεῖς ἀλγύνων,
ἐλίπανας ἐλαίῳ μου τὴν κεφαλὴν ἀφθόνῳ
καὶ σοῦ με τὸ ποτήριον ὡς κράτιστον μεθύσκον
ἡ σὴ χρηστότης πάντα με καταδιώξαι χρόνον
καὶ τὸ βιοῦν ἐπὶ μακρὸν ἐν οἴκῳ με κυρίου.

### 23 – Ψαλμὸς τῷ Δαυὶδ τῆς μίας σαββάτων

Ἡ γῆ τε καὶ τὸ πλήρωμα τῆσδε τοῦ παντεργάτου
καὶ πάντες οἱ τὴν σύμπασαν πληροῦντες οἰκουμένην·
αὐτὸς ἐστήριξεν αὐτὴν ἐπάνω τῶν ἀβύσσων
καὶ ταύτην ἐπὶ ποταμῶν ἡτοίμασεν ἀπείρων.
τίς ἀναβήσεται γοργῶς εἰς ὄρος τοῦ κυρίου
ἢ τίς ἐν τόπῳ στήσεται τὸ καθ’ αὐτὸν ἁγίῳ;

---

**22** V (f. 114v) L (f. 191v) D (ff. 202v–203r) **23** V (f. 114v) L (ff. 191v–192r) D (f. 203r)

---

**22 tit.** ψαλμὸς τῷ Δαυὶδ κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει add. LD **23 tit.** τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς add. LD

4 ἀθῷος χερσὶν καὶ καθαρὸς τῇ καρδίᾳ,
ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ
καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ.
5 οὗτος λήμψεται εὐλογίαν παρὰ κυρίου
καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ.
6 αὕτη ἡ γενεὰ ζητούντων τὸν κυρίον,
ζητούντων τὸ πρόσωπον τοῦ θεοῦ Ἰακώβ.
7 ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,
καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
8 τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
κύριος κραταιὸς καὶ δυνατός,
κύριος δυνατὸς ἐν πολέμῳ.
9 ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι,
καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
10 τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;
κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

## XXIV – Ψαλμὸς τῷ Δαυίδ

Πρὸς σέ, κύριε, ἦρα τὴν ψυχήν μου, ὁ θεός μου.
2 ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην,
μηδὲ καταγελασάτωσάν μου οἱ ἐχθροί μου.
3 καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν·
αἰσχυνθήτωσαν πάντες οἱ ἀνομοῦντες διὰ κενῆς.
4 τὰς ὁδούς σου, κύριε, γνώρισόν μοι / $^{2}$καὶ τὰς τρίβους σου δίδαξόν με.
5 ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου
καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου,
καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.
6 μνήσθητι τῶν οἰκτιρμῶν σου, κύριε, / $^{2}$καὶ τὰ ἐλέη σου ¦
$^{2}$ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.

---

**23: 6.1** τὸν κυρίον] Bo U’-1092 R’Aug *L*’’ (etiam 267) 55 : αὐτόν B’’ La$^{G}$ A Cyp, ergo Rahlfs

ἀνεύθυνος μὲν ταῖς χερσίν, ἁγνός δε τὴν καρδίαν,
ὃς ἐν ματαίῳ τὴν ψυχὴν οὐκ ἔσχε τὴν ἰδίαν
καὶ τῷ πλησίον ὤμοσεν οὐδόλως ἐπὶ δόλῳ·
οὗτος ἂν λάβοι πρὸς θεοῦ τὴν ἐπὶ τούτοις χάριν
καὶ τῆς αὐτοῦ χρηστότητος τὰς ἀμοιβὰς ἀξίας.
τοῦτο τὸ γένος τῶν αὐτὸν ζητούντων τὸν δεσπότην
καὶ τῶν αἰτούντων Ἰακὼβ τὴν ὄψιν τοῦ κυρίου.
ἄρατε πύλας ἄρχοντες τῷ παντοκράτορί μου,
ἄρθητε πύλαι πρὸ μακρῶν ἐσφηνωμέναι χρόνων
καὶ ταύταις εἰσελεῦσεται τῆς δόξης ὁ δεσπότης.
τίς ἐστιν οὗτος ὁ φρικτὸς τῆς δόξης αὐτοκράτωρ;
κύριος μόνος κραταιὸς καὶ δυνατὸς ἐν μάχαις,
κύριος μόνος ἰσχυρὸς ἐν συμπλοκαῖς ἐκφύλων.
ἄρατε πύλας ἄρχοντες τῷ παντοκράτορί μου,
ἄρθητε πύλαι πρὸ μακρῶν ἠσφαλισμέναι χρόνων
καὶ ταύταις εἰσελεύσεται τῆς δόξης ὁ δεπότης.
τίς ἐστιν οὗτος ὁ φρικτὸς τῆς δόξης αὐτοκράτωρ;
κύριος τῶν δυνάμεων αὐτός ἐστιν, οὐκ ἄλλος.

Δόξα. Κάθισμα γʹ

**24 – Ψαλμὸς τῷ Δαυίδ**

Ἦρα πρὸς σέ μου τὴν ψυχὴν τὸν παντοκράτορά μου,
εἰς σέ δε μόνον πέποιθα καὶ μὴ καταισχυνθείην, ‖115r
μὴ δέ με γελασάτωσαν οἱ δυσμενεῖς ἀφρόνως.
οἱ σέ γαρ ὑπομένοντες, οὐ μὴ καταισχυνθῶσιν,
οἱ δ’ ἀνομοῦντες ἐν κενοῖς ἐχέτωσαν αἰσχύνην.
τὰς σάς μοι γνώρισον ὁδοὺς καὶ δίδαξον τὰς τρίβους
εὐσπλάγχνως ὁδηγήσας με πρὸς τὴν ἀλήθειάν σου,
δίδαξον οὖν με γνῶναι σε θεόν τε καὶ σωτῆρα·
σέ γαρ ὑπέμεινα μοχθῶν εἰς ὅλην τὴν ἡμέραν.
τῶν οἰκτιρμῶν σου μνήσθητι καὶ τῆς χρηστότητός σου,
ἔχουσι γὰρ τὴν ὕπαρξιν ἐκ τοῦ παντὸς αἰῶνος.

**24** V (ff. 114v–115r) L (ff. 192r–193r) D (ff. 203rv)

**24 tit.** πρὸς σὲ κύριε ἦρα ψυχήν μου ὁ θεός μου ἐπὶ σοί add. L : πρὸς σὲ κύριε ἦρα ψυχήν μου ὁ θεός μου ἐπὶ σοὶ πέποιθα LD **24.4** οἱ σέ] εἰς σέ LD

7 ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς·
κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ,
ἕνεκα τῆς χρηστότητός σου, κύριε.
8 χρηστὸς καὶ εὐθὴς ὁ κύριος·
διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.
9 ὁδηγήσει πραεῖς ἐν κρίσει,
διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
10 πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια
τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.
11 ἕνεκεν τοῦ ὀνόματός σου, κύριε,
καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν.
12 τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον;
νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.
13 ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται,
καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
14 [...] κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν,
καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.
15 οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον,
ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
16 ἐπίβλεψον ἐπ’ ἐμὲ καὶ ἐλέησόν με,
ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
17 αἱ θλίψεις τῆς καρδίας μου ἐπλατύνθησαν·
ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
18 ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου
καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
19 ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν
καὶ μῖσος ἄδικον ἐμίσησάν με.
20 φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με·
μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
21 ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι,
ὅτι ὑπέμεινά σε, κύριε.
22 λύτρωσαι, ὁ θεός, τὸν Ἰσραὴλ / [2]ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.

---

**24: 11.1** ἕνεκεν] U R *L’* (etiam 267) 55 : ἕνεκα B′ and A **24: 11.2** ἱλάσθητι] U R *L’’* (etiam 267) : ἱλάσῃ B’’ La Ga and A’ **24: 14.1** om. S Sa$^{B*}$ La$^{G}$ Ga *L’’* 1219 **24: 14.2** δηλώσει Bo *L′* (etiam 267) : τοῦ δηλῶσαι rel. codd., ergo Rahlfs **24: 22.1–2** unus stichus in B′ Sa R’’ He A’’ necnon 267

ἀγνοίας δέ μου μὴ μνησθῇς καὶ τῶν ἐκ βρέφους ἔργων,
μνήσθητι δέ μου κατ’ αὐτὴν τὴν ἀγαθότητά σου,
χάριν τῆς σῆς χρηστότητος καὶ τῆς κηδεμονίας.
χρηστός ἐστιν ὁ κύριος, εὐθύς δε κατὰ φύσιν,
οὐκοῦν τοὺς ἁμαρτάνοντας ἐν τρίβῳ καταρτίσει
καὶ τοὺς πραεῖς καὶ συνετοὺς εἰς κρίσιν ὁδηγήσει,
διδάξει τρίβους τοὺς πραεῖς, ἃς ἔδειξεν ἰδίας.
αἱ τρίβοι τοῦ δεσπόζοντος οἶκτος μετ’ ἀληθείας
τοῖς διαθήκην τὴν αὐτοῦ ζητοῦσι καὶ τοὺς λόγους
ἕνεκεν σοῦ τῆς κλήσεως καὶ τῆς μακροθυμίας.
ἱλάσθητί μου τοῖς κακοῖς, ἄπειρα γὰρ τυγχάνει.
τίς ἐστιν ὁ φοβούμενος ἄνθρωπος τὸν δεσπότην;
εἰς τρίβον, ἣν τεθέληκε, νομοθετήσει τούτῳ.
ἐνηυλισμένην τὴν ψυχὴν τοῖς ἀγαθοῖς εὑρήσει
καὶ γῆν τὸ τούτου καθαρὸν κληρονομήσει σπέρμα.
κραταίωσις ὁ κύριος τῶν φοβουμένων τοῦτον,
ἔσται δὲ τούτοις δήλωσις ἡ τούτου διαθήκη.
τὰ βλέφαρά μου πρὸς θεὸν κατὰ τὸν πάντα χρόνον,
ὃς καὶ παγίδος πονηρᾶς ἐκσπάσει μου τοὺς πόδας.
ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ σῶσον με, παντάναξ,
ἐπεὶ μονογενής εἰμι καὶ κατακράτος πένης.
αἱ θλίψεις ἐπληθύνθησαν αἱ τῆς ἐμῆς καρδίας,
τῶν γοῦν τοσούτων ἀναγκῶν θᾶττον ἐξάγαγέ με.
ἴδε μου τὴν ταπείνωσιν καὶ γνῶθι μου τὸν πόνον
καὶ πάσας ἄφες τὰς ἐμὰς εὐσπλάγχως ἁμαρτίας.
ἴδε μου σὺ τοὺς δυσμενεῖς εἰς πλῆθος ποσουμένους
καὶ μῖσος με μισήσαντας ἀδίκως εἰργασμένον.
φύλαξον δέ μου τὴν ψυχὴν καὶ ῥῦσαι με κινδύνων,
ἐπήλπισά σοι, παντουργέ, καὶ μὴ καταισχυνθείην,
ἄκακοι γάρ μοι καὶ πραεῖς τὸν τρόπον ἐκολλῶντο.
ἐγώ δ’ ὡς ἀνεξίκακον ὑπομεμένηκά σε,
τὸν Ἰσραὴλ ἐκ τῶν αὐτοῦ λύτρωσαι, σῶτερ, πόνων.

**24.25** ἐνηυλισμένην ] ἐνκυλισμένην L : ἐγκοιλυσμένην D **24.33** ἐπληθύνθησαν ] ἐπλαθύνθησαν D
**24.43** hinc litterae initiales omnis versus absunt in D

## XXVI – Τοῦ Δαυίδ· πρὸ τοῦ χρισθῆναι

Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι;
κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω;
2 ἐν τῷ ἐγγίζειν ἐπ’ ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου
οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν·
3 ἐὰν παρατάξηται ἐπ’ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου·
ἐὰν ἐπαναστῇ ἐπ’ ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
4 μίαν ᾐτησάμην παρὰ κυρίου, ταύτην ἐκζητήσω·
τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου,
τοῦ θεωρεῖν με τὴν τερπνότητα τοῦ κυρίου
καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.
5 ὅτι ἔκρυψέν με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου·
ἐσκέπασέν με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ,
ἐν πέτρᾳ ὕψωσέν με· / 6 καὶ νῦν ἰδοὺ ὕψωσεν τὴν κεφαλήν μου ἐπ’ ἐχθρούς μου·
ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν <αἰνέσεως καὶ> ἀλαλαγμοῦ,
ᾄσω καὶ ψαλῶ τῷ κυρίῳ.
7 εἰσάκουσον, κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα·
ἐλέησόν με καὶ εἰσάκουσόν μου.
8 σοὶ εἶπεν ἡ καρδία μου· <κύριον ζητήσω>, ¦
[1]ἐξεζήτησεν σε τὸ πρόσωπόν μου·
τὸ πρόσωπόν σου, κύριε, ζητήσω.
9 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ,
μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου·
βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με
καὶ μὴ ἐγκαταλίπῃς με, ὁ θεὸς ὁ σωτήρ μου.
10 ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με,
ὁ δὲ κύριος προσελάβετό με.
11 νομοθέτησόν με, κύριε, τῇ ὁδῷ σου
καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου.
12 μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με,
ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι,
καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.

---

**26: 4.2** τό ] S* $L^{d}$ (etiam 267) Tht$^{p}$He A : τοῦ B U R $L^{d(sil)}$T-Tht$^{p}$S$^{c}$ 1219’ 2030 **26: 6.2** αἰνέσεως καί ] add. *L* (etiam 267) **26: 6.3** ᾄσω ] S *L′* (etiam 267) : ᾄσομαι B U R A 2030, ergo Rahlfs **26: 8.1–2** σοί … μου ] κύριον ζητήσω add. et sic 8.2 disponunt *L″* 1219, κύριον ζητήσω ad 8.1 trahunt TSyHe 1219’ necnon 267 (vid. etiam apparatum H.–P.) : κύριον ζητήσω om. et ἐζήτησεν τὸ πρόσωπόν μου (ex S) Rahlfs

## 26 – Ψαλμὸς τῷ Δαυίδ· πρὸ τοῦ χρισθῆναι

Κύριος, φῶς μου καὶ σωτήρ, οὐ φοβηθήσομαί τι
ἐπίκουρός μου τῆς ζωῆς· ἐκ τίνος δειλιάσω;
ἐν τῷ σφριγᾶν τὰς σάρκας μου τοὺς πονηροὺς ἐσθίειν,
οἱ δυσμενεῖς καὶ θλίβοντες πεπτώκασιν νοσοῦντες.
οὐ φοβηθήσομαι δεινὴν παρεμβολὴν ἐκφύλων·
ἂν ἐγερθῇ μοι πόλεμος, οὐ λύσω τὰς ἐλπίδας.
ταύτην ζητήσω καθαρῶς ἣν ᾐτησάμην μίαν·
τὸ κατοικεῖν διαπαντὸς ἐν οἴκῳ με κυρίου
καὶ θεωρεῖν με τὰ τερπνὰ τῆς δόξης τοῦ κυρίου
καὶ τῷ ναῷ τῷ κατ’ αὐτὸν ὁσῶραι προσεδρεύειν.
ἐν γὰρ ἡμέρᾳ με κακῶν τετήρηκε κατ’ οἶκον,
ἐν ἀποκρύφῳ με σκηνῆς ἐσκέπασεν ὀλβίας,
ὕψωσεν ἐπὶ πέτρας με τὴν κεφαλὴν ἐξάρας·
κυκλώσας τούτου τὴν σκηνὴν ἔθυσα τὰς αἰνέσεις, ‖115v
ᾄσω λοιπὸν τῷ πλαστουργῷ, ψαλῶ δὲ τῷ κυρίῳ.
εἰσάκουσόν μου τῆς φωνῆς, ἧσπερ ἐκέκραξά σοι,
ἐλέησον τὸν δοῦλον σου καὶ σύνες μοι τῶν λόγων.
σοὶ δ’ εἶπεν ἡ καρδία μου· ζητήσω τὸν δεσπότην,
ἐμοῦ σε δὲ τὸ πρόσωπον ἐζήτησεν ἐκθύμως,
τὸ πρόσωπόν σου, κύριε, ζητήσω μετὰ πόθου.
σύ δ’ ἐπ’ ἐμοῦ τὸ πρόσωπον μηδόλως ἀποστρέψῃς,
μὴ δ’ ἐν ὀργῇ τὸν δοῦλον σου τὸν βδελυκτὸν ἐκκλίνῃς,
μὴ δ’ ἀποσκορακίσῃς με τῆς σῆς ἐπικουρίας,
ὡς δὲ θεός μου καὶ σωτὴρ μὴ σύ με καταλίπῃς.
ὁ γὰρ πατὴρ σὺν τῇ μητρὶ καταλελοίπασί με,
ὁ δὲ θεὸς ᾠκτείρησε καὶ προσελάβετό με·
ἐν ταῖς ὁδοῖς σου, κύριε, σύ με νομοθετήσας
εἰς τρίβους καθοδήγησον τὰς ἀληθῶς εὐθείας.
μὴ παραδῷς με πονηροῖς ἕνεκα τῶν ἐχθρῶν μου,
ἐπείπερ ἐπανέστησαν μάρτυρες ἄδικοί μοι
καὶ ψευσαμένην καθ’ αὑτῆς τὴν ἀδικίαν εἶδον.

**26** V (ff. 115rv) L (ff. 193rv) D (ff. 203v–204r)

**26 tit.** τῷ Δαυὶδ ψαλμὸς κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθ add. L : τῷ Δαυὶδ ψαλμὸς κς´ κύριος φωτισμός μου καὶ σωτήρ μου τίνα φοβηθ et in marg. ext. f. 203v Mi.Ps. *Poem.* 1.79–84 (ed. Westerink) D (vid. app. 1) **26.5** φοβηθήσομαι] φοβήσομαι LD **26.10** προσεδρεύειν] προσεδεύειν L **26.28** τὰς ἀληθῶς] τῆς ἀληθοῦς D

13 πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων.
14 ὑπόμεινον τὸν κύριον· / $^{2}$ἀνδρίζου, ¦
$^{2}$καὶ κραταιούσθω ἡ καρδία σου, / $^{3}$καὶ ὑπόμεινον τὸν κύριον.

### XXV – Ψαλμὸς τοῦ Δαυίδ

Κρῖνόν με, κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην
καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.
2 δοκίμασόν με, κύριε, καὶ πείρασόν με,
πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.
3 ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν,
καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.
4 οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος
καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω·
5 ἐμίσησα ἐκκλησίαν πονηρευομένων
καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.
6 νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου
καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, κύριε,
7 τοῦ ἀκοῦσαι <με> φωνῆς αἰνέσεως <σου>
καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
8 κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου
καὶ τόπον σκηνώματος δόξης σου.
9 μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου
καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου,
10 ὧν ἐν χερσὶν ἀνομίαι,
ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων.
11 ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην·
λύτρωσαί με καὶ ἐλέησόν με.
12 ὁ [γὰρ] πούς μου ἔστη ἐν εὐθύτητι·
ἐν ἐκκλησίαις εὐλογήσω σε, κύριε.

**26: 14.1–2** ἀνδρίζου ad 14.1 trahunt R′ et Ga **26: 14.2–3** divisit Rahfls ex TSyHe, sed rel. codd. unum stichum habent (plerique cum ἀνδρίζου) **25 tit.** ψαλμὸς τοῦ Δαυίδ] sic U’-1221 $La^{G}$ $L^{d}$′ (etiam 267) $HeR^{c}$ **25: 7.1** με] add. *L*′ (etiam 267, non T) φωνῆς] sic $L^{d(sil)}$ (etiam 267) σου] add. Bo U’ *L*’’ (etiam 267) 1219 Aug **25: 11.2** λύτρωσαί … $με^{2}$] add. κύριε *L*′ (etiam 267) A′, cfr. MPs. 25.23 φιλανθρώπως **25: 12.1** γάρ] om. R′ Aug Vulg *L*′ (etiam 267) 2021

ὄψομαι δὲ καὶ τὰ καλὰ τῇ τῶν ἀφθάρτων χώρᾳ,
ὑπόμεινον τὸν κύριον κἀν τοῖς δεινοῖς ἀνδρίζου
καὶ στήριζέ σου τὴν ψυχὴν τῇ πρὸς αὐτὸν ἐλπίδι.

**25 – Ψαλμὸς τῷ Δαυίδ**

Κρῖνον μοι, κύριε, καὶ γὰρ ἀκάκως ἐπορεύθην
καὶ τῷ κυρίῳ πεποιθὼς οὐδέποτε νοσήσω.
δοκίμασόν με, κύριε, καὶ πείρασον ὡς οἶδας
καὶ πύρωσόν μου τοὺς νεφροὺς ἀλλὰ καὶ τὴν καρδίαν.
πρὸ τῶν ἐμῶν γαρ ὀφθαλμῶν τὸν οἶκτον σου λαμβάνω
κατὰ τὴν σὴν ἀλήθειαν εὐαρεστῆσαι θέλων,
τὴν δὲ τῆς ματαιότητος συναγωγὴν ἐκκλίνας
οὐκ ἂν βουλοίμην εἰσελθεῖν μετὰ παρανομούντων.
μεμισηκώς δε τὸν ἐσμὸν τῶν πονηρευομένων,
οὐ μὴ καθίσω μετ’ αὐτῶν τῶν ἀσεβῶν τὸν τρόπον.
νίψομαι δὲ περιφανῶς τὰς χεῖρας ἐν ἀθῴοις
καὶ τὸ θυσιαστήριον εὐκόσμως σου κυκλώσω,
ὥστε φωνὴν ἀκοῦσαι με τὴν τῆς αἰνέσεώς σου
καὶ πάντα σου τὰ θαυμαστὰ πρακτέα καταγγεῖλαι.
ἠγάπησα τοῦ δόμου σου τὸ κάλλος, παντοκράτορ,
καὶ τόπον τοῦ σκηνώματος τῆς δόξης σου τῆς θείας.
ἐμὴν ψυχὴν μετ’ ἀσεβῶν μηδόλως ἀπολέσῃς,
ἐμὴν ζωήν δε μετ’ ἀνδρῶν αἱμάτων μὴ φαυλίσῃς,
ὧν ἐν χερσὶ τὰ βδελυκτὰ καὶ μυσαρὰ πρακτέα·
πλήρης αὐτῶν ἡ δεξιὰ τῶν παρανόμων δώρων.
ἐγὼ δ’ ἐν ἀκακίᾳ μου πορεύσομαι συνήθως.
πάντων με ῥῦσαι τῶν κακῶν οἰκτείρας φιλανθρώπως·
ἔστη μοι πρὸς εὐθύτητας ὁ ποὺς ἀπαρεγκλίτους,
ἐν ἐκκλησίαις ὕμνον σοι προσοίσω τῷ δεσπότῃ.

**25** V (f. 115v) L (ff. 193v–194r) D (f. 203v)

**25 tit.** τῷ Δαυὶδ ψαλμός· κρῖνον με μοι κύριε ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου L : τῷ Δαυὶδ ψαλμός· κύριε κρῖνον μέ μοι κύριε ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου D

### XXIX – Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου· τῷ Δαυίδ

2 Ὑψώσω σε, κύριε, ὅτι ὑπέλαβές με
καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ’ ἐμέ.
3 κύριε ὁ θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με·
4 κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου,
ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
5 ψάλατε τῷ κυρίῳ, οἱ ὅσιοι αὐτοῦ,
καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ·
6 ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, / 2καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ·
τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς / 4καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις.
7 ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου / 2Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.
8 κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν·
ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.
9 πρὸς σέ, κύριε, κεκράξομαι / 2καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι
10 Τίς ὠφέλεια ἐν τῷ αἵματί μου,
ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;
μὴ ἐξομολογήσεταί σοι χοῦς
ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
11 ἤκουσεν κύριος καὶ ἠλέησέν με,
κύριος ἐγενήθη βοηθός μου.
12 ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί,
διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,
13 ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ·
[κύριε ὁ θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι.]

### XXVII – Ψαλμὸς τῷ Δαυίδ

Πρὸς σέ, κύριε, ἐκέκραξα, / 3ὁ θεός μου, μὴ παρασιωπήσῃς ἀπ’ ἐμοῦ,
μήποτε παρασιωπήσῃς ἀπ’ ἐμοῦ
καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
2 εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με πρὸς σέ,
ἐν τῷ με αἴρειν χεῖράς μου πρὸς ναὸν ἅγιόν σου.

---

**29: 2.2** εὔφρανας] H.–P. necnon 267 : ηὔφρανας Rahlfs **29: 6.1–2** unus stichus S Sa$^{B}$ TSy A’ **29: 6.3–4** unus stichus Sa R′ T 55 **29: 7.1–2** unum stichum praebent rel. codd. praeter La$^{G}$ Ga 1219 (ergo Rahlfs) **29: 9.1–2** unus stichus S Sa R’’ THe A’’ necnon 267 **29: 12.1** χαράν] universi codd., χορόν em. Grabe et accepit Rahlfs **29: 13.2** om. Philes **27 tit.** U *L′* (etiam 267) **27: 1.2–3** unus stichus S Sa La$^{G}$ Ga A necnon 267 **27: 2.1** εἰσάκουσον] add. κύριε Bo VulgAug *L’’* (etiam 267) Su 55

**29 – Ψαλμὸς ᾠδῆς ὑπὲρ τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαυίδ**

Ὑψώσω σε τὸν πλαστουργόν, σύ γαρ ὑπέλαβές με
καὶ τοὺς ἐχθροὺς οὐκ εὔφρανας ἐπὶ τὸν σὸν ἱκέτην.
σῶτερ, ἐκέκραξα πρὸς σὲ καὶ τεθεράπευκάς με
καὶ τὴν ψυχήν μου παρευθὺς ἀνήγαγες ἐξ ᾅδου.
ἐρρύσω με τῶν εἰς βαθὺν καταβαινόντων λάκκον.
ψάλατε δὴ τῷ κτίσαντι πάντες οἱ τούτου δοῦλοι,
οὗ δὴ τῆς καθαρότητος τὴν μνήμην ἐπαινεῖτε·
ὀργήν γαρ ἔχει τῷ θυμῷ, ζωήν δε τῇ θελήσει.
ἑσπέρας ἔσται κοπετὸς καὶ τέρψις πρὸ φωσφόρου.
ἐγώ δ’ ἐνευθηνούμενος ᾤμην οὐ πείσεσθαί τι. ‖116r
σύ δε παρέσχου δύναμιν τῷ κάλλει μου θελήσας,
ἀπέστρεψάς σου τὴν μορφὴν καὶ ταραχθεὶς εὑρέθην.
σῶτερ, κεκράξομαι πρὸς σὲ καὶ δεηθήσομαί σου.
ἐν αἵματί μου τί ποτε λυσιτελὲς φανεῖται
ἐν τῷ πρὸς πᾶσαν με φθορὰν θανάτου μεταβαίνειν;
μὴ χοῦς ἀνθομολόγησιν ἐπεξεργάσεταί σοι
καὶ τὴν ἀλήθειαν τὴν σὴν ἀναγγελεῖ τῇ κτίσει.
ἤκουσε κύριος αὐτὸς καὶ κατῳκτείρησέ με
καὶ γέγονεν ἐπίκουρος τῷ καταπονουμένῳ.
εἰς εὐφροσύνην ἔτρεψας τὸν κοπετόν μοι φθάσας,
διέρρηξας τὸν σάκκον μου ζώσας με θυμηδίαν,
ὅπως ἂν ψάλλω σοι φαιδρῶς οὐ κατανενυγμένως.

**27 – Ψαλμὸς τῷ Δαυίδ**

Σῶτερ, βοῶντος μου πρὸς σὲ μὴ παρασιωπήσῃς,
ἂν γὰρ ἐκκλίνῃς ἀπ’ ἐμοῦ καὶ παρασιωπήσῃς,
εὐθὺς ὁμοιωθήσομαι τοῖς ἤκουσιν εἰς λάκκον.
ἐν τῷ πρὸς σέ με δέεσθαι σὺ πρόσχες τῇ φωνῇ μου
καὶ μᾶλλον αἴροντος ἐμοῦ τὰς χεῖρας τῷ ναῷ σου.

**29** V (ff. 115v–116r) L (ff. 194rv) D (f. 204v) **27** V (f. 116r) L (ff. 194v–195r) D (f. 204r)

**29 tit.** ὑψώσω σε κύριε ὅτι ὑπέλαβές με add. LD : Mi.Ps. *Poem.* 1.90–94 (ed. Westerink) in marg. ext. f. 204v D (vid. app. 1) **29.6** ψάλατε] ψάλλατε D **29.10** ἐνευθηνούμενος] ἐνευθυνούμενος LD
**27 tit.** πρὸς σὲ κύριε κεκράξομαι· ὁ θεός μου μὴ ψαλμός add. LD

3 μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου
καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με
τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν,
κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
4 δὸς αὐτοῖς <κύριε> κατὰ τὰ ἔργα αὐτῶν
καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν·
κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς,
ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς.
5 ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου
καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ·
καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.
6 εὐλογητὸς κύριος, ὅτι εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.
7 κύριος βοηθός μου καὶ ὑπερασπιστής μου·
ἐπ’ αὐτῷ ἤλπισεν ἡ καρδία μου ¦
$^{2}$καὶ ἐβοηθήθην, / $^{3}$καὶ ἀνέθαλεν ἡ σάρξ μου·
καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.
8 κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ
καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν.
9 σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου
καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

## XXX – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ· ἐκστάσεως

2 Ἐπὶ σοί, κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα·
ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.
3 κλῖνον πρός με τὸ οὖς σου, / $^{2}$τάχυνον τοῦ ἐξελέσθαι με·
γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν
καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με.
4 ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ
καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με·
5 ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι,
ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου.
6 εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου·

---

**27: 4.1** κύριε] add. *L*’’ (etiam 267) 55 **27: 7.2–3** sic dividit 267, καὶ βοηθήθην ad 7.3 trahit La$^{G}$
**30: 3.1–2** unus stichus Sa R′ SyHe A’’ necnon 267

ἁμαρτωλοῖς δε πονηροῖς μὴ σύ με συνελκύσῃς,
μὴ δὲ συναπολέσῃς με τοῖς ἔργοις τῶν ἀδίκων,
οἳ τὴν εἰρήνην ἐμφανῶς λαλοῦσι πρὸς τοὺς πέλας,
δεινάς δε κρύπτουσι βουλὰς ἐν ταῖς αὐτῶν καρδίαις.
δὸς τούτοις, παντοδύναμε, κατὰ τὰ σφῶν πρακτέα
καὶ κατὰ τὴν ἐγχείρησιν τῶν ἐπιτηδευμάτων,
κατὰ τὰς πράξεις τῶν χειρῶν δὸς τούτοις, παντοκράτορ,
ἀπόδος ἀνταπόδομα τοῖς πεπαρῳνηκόσιν·
οὐ γὰρ συνῆκαν εἰς αὐτὰ τὰ τοῦ θεοῦ πρακτέα,
οὐδὲ τὰς πράξεις τῶν χειρῶν τοῦ παντεργοῦ δεσπότου·
σὺ καθελεῖς τοὺς πονηρούς, οὓς οὐκ οἰκοδομήσεις.
εὐλογητὸς ὁ κύριος, ὅτιπερ ἤκουσέ μου,
αὐτός γαρ ὑπερασπιστὴς καὶ βοηθός ἐστί μοι·
ἐμοῦ δ' ἐπήλπισεν αὐτῷ καθάπαξ ἡ καρδία,
ἡ σάρξ μου δ' ἀνατέθηλεν ἐξ ἀρωγῆς τῆς τούτου,
ἑκὼν οὖν τούτῳ τοὺς ἐμοὺς ἐξαγορεύσω κρότους.
κύριος τὸ κραταίωμα τοῦ κατὰ τοῦτον δήμου,
ὃς τοῦ χριστοῦ τοῦ παρ' αὐτῷ λαμπρῶς ὑπερασπίζει·
σοὺ πάντα σῶσον τὸν λαόν, εὐλόγησον τὸν κλῆρον,
ὑψῶν δε ποίμανον αὐτοὺς μέχρι παντὸς αἰῶνος.

**30 – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ· ἐκστάσεως**

Ἐπήλπισά σοι, κύριε, καὶ μὴ καταισχυνθείην,
ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαι με τῶν κινδύνων,
τάχυνον ἐξελέσθαι με τὴν ἀκοήν σου κλίνας,
γενοῦ θεός μοι βοηθὸς ὑπερασπίζων μόνος
καὶ σώζων εἰς κρησφύγετον οὐχ ὁρατῆς με στέγης.
σύ γαρ ἐμοῦ κραταίωμα, σὺ καὶ καταφυγή μου,
σὺ θρέψας ὁδηγήσεις με, λαμπρύνων σου τὴν κλῆσιν
καὶ τῆς κρυβείσης ταύτης με παγίδος ἐξαρπάσεις·
σὺ γὰρ ὑπερασπίζεις μου καὶ σώζεις με, παντάναξ.
εἰς χεῖρας σου τὸ πνεῦμα μου θαρρήσας παραθήσω,

**30** V (ff. 116rv) L (ff. 195r–196v) D (ff. 204v–205r)

**29.13** ἀνταπόδομα] ἀνταπόδωμα D **30 tit.** ἐπὶ σοί, κύριε, ἤλπισα μή add. L : ψαλμὸς ἐπὶ σοί, κύριε, ἤλπισα μή add. D **30.5** οὐχ] οὐχ' D

ἐλυτρώσω με, κύριε ὁ θεὸς τῆς ἀληθείας.
7 ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς·
ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα. / 8 ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου,
ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου,
ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου
9 καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθροῦ,
ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.
10 ἐλέησόν με, κύριε, ὅτι θλίβομαι·
ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου,
ἡ ψυχή μου καὶ ἡ γαστήρ μου.
11 ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου
καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς·
ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου,
καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν.
12 παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος
καὶ τοῖς γείτοσίν μου σφόδρα / [3]καὶ φόβος τοῖς γνωστοῖς μου,
οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ’ ἐμοῦ.
13 ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας,
ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.
14 ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν·
ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ’ ἐμὲ
τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο.
15 ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα, κύριε·
εἶπα Σὺ εἶ ὁ θεός μου. / 16 ἐν ταῖς χερσίν σου οἱ καιροί μου·
ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου / [3]καὶ ἐκ τῶν καταδιωκόντων με.
17 ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου,
σῶσόν με ἐν τῷ ἐλέει σου.
18 κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε·
αἰσχυνθείησαν οἱ ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου.
19 ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια
τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν / [3]ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει.
20 ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, κύριε,
ἧς ἔκρυψας τοῖς φοβουμένοις σε,
ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ
ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων.

**30: 12.2–3** unus stichus R′ Ga SyHe necnon 267 **30: 15.1** σοί] R *L*Tht$^{p}$ A’ : σὲ S U-2015 Tht$^{p}$, ergo Rahlfs **30: 15.2–16.1** unus stichus 267 **30: 16.2–3** unus stichus Sa SyHe 55 **30: 19.2–3** unus stichus 2013’

τῆς ἀληθείας ὁ θεὸς ἐρρύσω με τὸν δοῦλον.
ἐμίσησας τοὺς φύλακας τῶν μάτην βουλευμάτων,
ἐγώ δ’ ἐλπίσας εἰς θεὸν τέρψιν ἐν σοὶ λαμβάνω.
ἐπεῖδες γὰρ εἰς τὴν ἐμὴν ταπείνωσιν ὑψόθεν
καὶ τὴν ψυχήν μου σέσωκας ἐξ ἀναγκῶν ἀπείρων,
εἰς χεῖρας δέ με δυσμενοῦς συνέκλεισας οὐδόλως,
ἐν εὐρυχώρῳ τοὺς ἐμοὺς ἔστησας πόδας βάσει. ‖[116v]
ἐλέησόν με, κύριε, θλίβομαι γὰρ ἐκτόπως·
τὸ βλέμμα μου τετάρακται θυμοῦ τινος ὀχλοῦντος
ὥσπερ αὐτῆς μου τῆς ψυχῆς καὶ τῆς γαστρὸς ἡ φύσις·
ὁ γὰρ ἐμὸς ἐξέλιπεν ὡς ἐν ὀδύνῃ βίος,
ἐν στεναγμοῖς δὲ τῶν ἐτῶν ᾤχετο πᾶς ὁ δρόμος.
ἠσθένησεν ὁ τόνος μου πτωχείας τυραννούσης
καὶ τῶν ὀστῶν τὴν ταραχὴν ὑπενεγκεῖν οὐκ ἔχω.
ὄνειδος πάντων γέγονα τοῖς δυσμενέσι πλέον
καὶ μάλιστα τοῖς γείτοσι καὶ τοῖς γνωστοῖς μου φόβος.
πεφεύγασιν οἱ βλέποντες τὰ δυστυχῆ μετά μου,
ὡσεὶ νεκρὸς ἀπὸ θερμῆς καρδίας ἐπελήσθην,
κέκριμαι δὲ τοῖς πονηροῖς ἀπολωλός τι σκεῦος.
ψόγον γὰρ ἤκουσα πολλῶν κυκλόθεν παροικούντων,
ἐν τῷ παρεῖναι κατ’ ἐμοῦ τοὺς φαύλους ἠθροισμένους,
οἳ τοῦ λαβεῖν μου τὴν ψυχὴν ἐσκέψαντο δολίως.
ἐγώ δ’ ἐπήλπισα τῇ σῇ χρηστότητι, παντάναξ,
εἴρηκα· «σύ μου κύριος, εἴ γε κεκλήρωμαί σοι.»
ἐκ τῆς χειρός με τῶν ἐχθρῶν τῶν διωκόντων ῥῦσαι,
ἐπιφανόν σου τὴν μορφὴν ἐπὶ τὸν σὸν ἱκέτην
καὶ σῶσον με τοῖς οἰκτιρμοῖς καὶ τῇ χρηστότητί σου.
εἰ δ’ ἐπεκαλεσάμην σε, μή, μὴ καταισχυνθείην,
ἀλλ’ αἰσχυνθέντες ἀσεβεῖς εἰς ᾅδου καταχθεῖεν.
ἄλαλα γενηθήτωσαν τὰ μετὰ δόλου χείλη,
ἅπερ ὑβρίζει τὸν καλὸν ὑπερηφάνῳ θράσει.
ὡς ἄπειρος ἡ πλησμονὴ τῆς ἀγαθότητός σου,
ἧς ἔκρυψας τοῖς μᾶλλον σε τῶν ἄλλων φοβουμένοις
καὶ τοῖς ἐλπίζουσιν εἰς σὲ βεβαίως ἐξειργάσω
ἔναντι πάντων τῶν υἱῶν τῶν ἐπὶ γῆς ἀνθρώπων.

**30.15** ἐξ ἀναγκῶν] ἐξαναγκῶν D **30.29** κέκριμαι] κέκριμμαι D ἀπολωλός] ἀπολωλώς D
**30.30** ψόγον] λόγον LD

21 κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ¦
[1]ἀπὸ ταραχῆς ἀνθρώπων, / [2]σκεπάσεις αὐτοὺς ¦
[2]ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.
22 εὐλογητὸς κύριος, ¦
[1]ὅτι ἐθαυμάστωσεν τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.
23 ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου
Ἀπέρριμμαι ἄρα ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.
διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου /[4]ἐν τῷ κεκραγέναι με πρὸς σέ.
24 ἀγαπήσατε τὸν κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ,
ὅτι ἀληθείας ἐκζητεῖ κύριος
καὶ ἀνταποδίδωσιν τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν.
25 ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, /[2]πάντες οἱ ἐλπίζοντες ἐπὶ κύριον.

**XXXI – Τῷ Δαυίδ· συνέσεως**

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι
καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι·
2 μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν,
οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.
3 ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου
ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν·
4 ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ’ ἐμὲ ἡ χείρ σου,
ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί <μοι> ἄκανθαν.
5 [διάψαλμα] τὴν ἁμαρτίαν μου ἐγνώρισα / [2]καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα·
εἶπα Ἐξαγορεύσω κατ’ ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ·
καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.
6 [διάψαλμα] ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος πρὸς σὲ ἐν καιρῷ εὐθέτῳ·
πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν.
7 σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με·
τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με.
8 [διάψαλμα] συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ,
ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.

**30: 21.1–3** sic dividit 267 : He A′ iungunt ἀπὸ ταραχῆς ἀνθρώπων ad σκεπάσεις αὐτούς in unum stichum (21.2) : B La$^{G}$ Ga in duo stichos dividunt, sed σκεπάσεις αὐτούς in 21.3 praebent : duo stichos (21.1 κατακρύψεις … ἀνθρώπων et 21.2 σκεπάσεις … γλωσσῶν) in Rahlfs **30: 23.3–4** unus stichus B′ 2013’ 1220 R’’ He$^{*}$ 55 necnon 267 **30: 25.1–2** unus stichus 2013’ necnon 267 **31: 2.1** ᾧ] *L’’* (etiam 267) 1219’ : οὗ B′ U R A, ergo Rahlfs **31: 4.2** μοι] add. B$^{d}$ R Ga *L’’* (etiam 267) A’ **31: 5.3** καρδίας] universi codd. praeter Ga et Tht$^{p}$’ (ergo Rahlfs) qui ἁμαρτίας praebent

ἐν ἀποκρύφῳ τῆς μορφῆς σὺ τούσδε κατακρύψεις,
σκεπάσεις δὲ περιφανῶς ἐκ ταραχῆς ἀνθρώπων,
ἀντιλογίας δὲ γλωσσῶν ἐν ἀφανεῖ θριγγίῳ.
εὐλογητὸς ὁ κύριος, ἐπείπερ ὡς δεσπότης
τὸν οἶκτον ἐθαυμάστωσε περιοχῆς ἐν πόλει.
ἐγώ δε πάλιν ἔλεξα καθάπερ ἐν ἐκστάσει·
«ἀπέρριμμαί σου τῶν χρηστῶν καὶ γλυκερῶν ὀμμάτων.»
καὶ τούτου χάριν ἤκουσας ἐμοῦ σοι κεκραγότος.
ποθήσατε τὸν κύριον ὅσοι πρὸς τοῦτον φίλοι,
ζητεῖ γὰρ ὡς φιλάνθρωπος τὰς ἀληθείας μόνος
μετρῶν τὴν ἀνταπόδοσιν πρὸς τοὺς ὑπερηφάνους.
οἱ πεποιθότες εἰς θεὸν θαρσεῖτε τὴν καρδίαν.

**31 – Ψαλμὸς τῷ Δαυὶδ συνέσεως**

Μάκαρες, ὧν ἀφείθησαν αἱ παρὰ λόγον πράξεις
καὶ καλινδήθραν ἔλαβον τὰ καθημαρτημένα.
μάκαρ ἀνήρ, ᾧπερ θεὸς οὐκ οἶδεν ἁμαρτίαν,
οὐδ’ ἔστιν ἐν τῷ στόματι τῷ κατὰ τοῦτον δόλος.
τὰ γὰρ ὀστᾶ σιγήσαντι γέγονε παλαιά μοι
ἀπὸ τοῦ κράζειν ὅλην με συνήθως τὴν ἡμέραν·
ἡμέρας γάρ μοι καὶ νυκτὸς ἡ χείρ σου βαρυτέρα,
ἐστράφην εἰς περίστασιν ἀκάνθης μοι παγείσης.
ἐγνώρισα τὴν πρᾶξιν μου μὴ κρύψας μου τὸν βίον
εἴρηκα· «μόνον φθέγξομαι τὰ πλημμελήματά μου»,
σύ δε καὶ τὴν ἀσέβειαν ἀφῆκας τῆς καρδίας·
καὶ ταύτης ὑπερεύξεται πᾶς ὅσιος εὐθέτως,
πλὴν εἰς ὑδάτων πρόσχυσιν τοῦτον οὐχ ἕξει κλύδων.
ἐκ τῆς περιεχούσης με σύ μου σωτὴρ ἀνίας,
ἀπὸ τῶν κυκλωσάντων με, τέρψις μου, λύτρωσαί με. ‖117r
συνετιῶ σε συμβαλὼν ᾗπερ ὁδεύσῃς τρίβῳ
καὶ στηριῶ τοὺς ὀφθαλμοὺς τὴν ἀρωγήν σου βλέπων.

**31** V (ff. 116v–117r) L (ff. 196v–197r) D (f. 205r)

**30.50** οἶκτον] οἶκον D **30.57** τὴν] εἰς LD **31 tit.** μακάριον ὧν ἀφέθησαν αἱ ἀνομίαι add. LD
**31.1** λόγον] λόγων D **31.14** ἀνίας] ἀνοίας D

9 μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις,
ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις
τῶν μὴ ἐγγιζόντων πρὸς σέ.
10 πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ,
τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον ἔλεος κυκλώσει.
11 εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι,
καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

## XXXII (2) – Ψαλμὸς τῷ Δαυίδ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ·
τοῖς εὐθέσι πρέπει αἴνεσις.
2 ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ,
ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.
3 ᾄσατε αὐτῷ ᾆσμα καινόν, / ²καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.
4 ὅτι εὐθὴς ὁ λόγος τοῦ κυρίου,
καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει·
5 ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος,
τοῦ ἐλέους κυρίου πλήρης ἡ γῆ.
6 τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν
καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·
7 συνάγων ὡς ἀσκὸν ὕδατα θαλάσσης,
τιθεὶς ἐν θησαυροῖς ἀβύσσους.
8 φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ,
ἀπ’ αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·
9 ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν,
αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
10 κύριος διασκεδάζει βουλὰς ἐθνῶν,
ἀθετεῖ δὲ λογισμοὺς λαῶν
καὶ ἀθετεῖ βουλὰς ἀρχόντων·
11 ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν αἰῶνα μένει,
λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

---

**31: 9.2** ἐν … κημῷ] sic 1098-Ga *L* (etiam 267) $Tht^{p}$ A : ἐν χαλινῷ καὶ κημῷ Rahlfs (vid. apparatum H.–P.) ἄγξαις] $L^{a}$′ (etiam 267) : ἄγξαι B′ U R 1098 $He^{c}$ 55 **32 (2) tit.** nonnulli codd. (etiam 267), vid. apparatum H.–P. : ἀνεπίγραφος παρ᾽ Ἑβραίοις apud Tht et *L*′ sed sine ψαλμός … Δαυίδ **32 (2): 5.1** ὁ κύριος] add. *L*’’ (etiam 267) A’ (1219 dub.)

ἡμίονος μὴ γένεσθε μὴ δ’ ἵππος ἀτακτοῦντες,
ἄγξαις κημῷ καὶ χαλινῷ τὰς σιαγόνας τούτων
τῶν μὴ προσπελαζόντων σοι μετὰ χρηστῆς ἐλπίδος.
πολλαί τινες αἱ μάστιγες τοῦ πονηροῦ τὸν βίον,
ἔλεος δὲ τὸν εἰς θεὸν ἐλπίζοντα κυκλώσει.
τέρφθητε καὶ σκιρτήσατε δίκαιοι τῷ κυρίῳ,
ὅσοι δ’ εὐθεῖς τε καὶ χρηστοὶ καυχᾶσθε τὴν καρδίαν.

Δόξα. Κάθισμα γ΄

## 32 II – ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ᾽ Ἑβραίοις

Ἀγαλλιᾶσθε, δίκαιοι, πάντες ἐν τῷ κυρίῳ·
κατάλληλος ἁρμόζει τις αἴνεσις τοῖς εὐθέσι.
μετὰ κιθάρας μέλψατε τὸν ὕμνον τῷ κυρίῳ
καὶ ψαλτηρίῳ χρήσασθε πρὸς τοῦτον δεκαχόρδῳ,
ᾆσμα προσάξατε καινὸν ἀλαλαγμῷ κροτοῦντες·
καὶ γὰρ εὐθὺς καθέστηκεν ὁ λόγος τοῦ κυρίου
καὶ πάντα πίστει γίνεται τὰ κατ’ αὐτὸν πρακτέα.
οἶκτον καὶ κρίσιν ἀγαπᾷ καθάπαξ ὁ δεσπότης·
πλήρης ἡ γῆ τῶν οἰκτιρμῶν τοῦ παντουργοῦ τεχνίτου·
ἐστήριξε τοὺς οὐρανοὺς ὁ τοῦ κυρίου λόγος,
τὸ πνεῦμα δὲ τοῦ στόματος ἅπαν αὐτῶν τὸ κράτος·
συνάγει γὰρ ὡς εἰς ἀσκὸν τὴν τῆς θαλάσσης χύσιν
τιθεὶς ἀβύσσους τεχνικῶς ἐν θησαυροῖς ἀδήλοις.
ἅπασα γῆ τὸν κτίσαντα δεσπότην φοβηθήτω,
ἀπὸ δὲ τούτου μετ’ αὐτὴν πᾶν σαλευθήτω γένος·
αὐτός γαρ εἶπε «κτίσθητε», καὶ γέγονεν εὐθέως,
αὐτός δε πάντων ἐντολῇ παρήγαγε τὰς φύσεις·
διασκεδάζει τῶν ἐθνῶν τὰς σκέψεις ὁ δεσπότης
καὶ τῶν λαῶν τοὺς λογισμοὺς ἀκύρους ἀποφαίνει
καὶ τῶν ἀρχόντων τὰς βουλὰς ἀθετουμένας βλέπει.
ἡ δὲ βουλὴ τοῦ κτίσαντος εἰς τὸν αἰῶνα μένει,
ὃς ἔσχηκε τοὺς λογισμοὺς εἰς γένος ἀπὸ γένους.

---

**32 II** V (f. 117r) L (ff. 197r–198r) D (ff. 205rv)

---

**31.22** εἰς θεόν] ἐκ θεοῦ D **31.24** ὅσοι … χρηστοί] οἱ δὲ χρηστοὶ καὶ νουνεχεῖς in textu, ὅσοι δ’ εὐθεῖς τε καὶ χρηστοί in marg. VL **32 II tit.** ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ add. LD **32 II.7** αὐτόν] ἐμαυτόν D

12 μακάριον τὸ ἔθνος, οὗ ἐστιν κύριος ὁ θεὸς αὐτοῦ,
λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.
13 ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος, / [2]εἶδεν πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων·
14 ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ
ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν,
15 ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν,
ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.
16 οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν,
καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ·
17 ψευδὴς ἵππος εἰς σωτηρίαν,
ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
18 ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτὸν
τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ
19 ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν
καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.
20 ἡ <δέ> ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ κυρίῳ,
ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν·
21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν,
καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22 γένοιτο τὸ ἔλεός σου, κύριε, ἐφ’ ἡμᾶς,
καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

**XXXIII – Τῷ Δαυίδ, ὁπότε ἠλλοίωσεν τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν**

2 Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ,
διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.
3 ἐν τῷ κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου·
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4 μεγαλύνατε τὸν κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
5 ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέν μου

---

**32 (2): 13.1–2** R’’, sed unus stichus MPs. 32 D **32 (2): 20.1** δέ] add. *L′* (etiam 267) 55 ὑπομενεῖ] Sa 267 et vid. apparatum H.–P., *erit* La$^{R}$Aug : ὑπομένει Bo Sy et alii codd. (vid. apparatum H.–P.), ergo Rahlfs

τὸ τὸν θεὸν ἐπεγνωκὸς ἔθνος οὐ πάντως φαῦλον,
οὐδὲ λαὸς ὁ πρὸς αὐτὸν κατακεκληρωμένος.
εἶδεν εὐσπλάγχνως ὁ θεὸς ἐξ ὕψους τοὺς ἀνθρώπους
ὡς ἐξ ἑτοίμου καὶ λαμπροῦ τοῦ κατοικητηρίου,
ἐπέβλεψεν εἰς τοὺς τὴν γῆν οἰκοῦντας πολυσπόρους
ὁ καταμόνας τὰς αὐτῶν παραγαγὼν καρδίας,
ὁ συνιεὶς εἰς ἅπαντα τὰ κατ' αὐτοὺς πρακτέα.
οὐ σώζεταί τις βασιλεὺς ὑπὸ πολλῇ δυνάμει
καὶ γίγας οὐ σωθήσεται τῷ πλήθει τῆς ἰσχύος,
εἰς σωτηρίαν ψεύδεται καὶ τὸ τῶν ἵππων τάχος
καὶ πλήθει τις δυνάμεως οὐκ ἄν ποτε σωθείη.
ἰδοὺ τὰ βλέφαρα θεοῦ τοῖς τοῦτον φοβουμένοις
καὶ τοῖς ἐλπίζουσιν αὐτοῦ τοῖς οἰκτιρμοῖς ἐμφρόνως,
ὥστε θανάτου τὰς ψυχὰς λυτρώσασθαι τὰς τούτων
καὶ διαθρέψαι τῷ καιρῷ τῆς χαλεπῆς ἐνδείας.
ἡμεῖς δε πάντων τῷ θεῷ μᾶλλον ὑπομενοῦμεν,
ἡμῶν γαρ ἔστιν ἀρωγὸς ὑπερασπίζων μόνος·
ἐν τούτῳ γὰρ ἡ καθ' ἡμᾶς τερφθήσεται καρδία
καὶ τούτου καθαρώτερον ἠλπίσαμεν τῇ κλήσει.
γένοιτο, σῶτερ, ἐφ' ἡμᾶς θᾶττον ἡ σὴ χρηστότης,
καθὼς ἠλπίσαμεν εἰς σὲ τὸν κτίστην καὶ δεσπότην.

### 33 – Ψαλμὸς τῷ Δαυὶδ ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν

Παντὶ καιρῷ τὸν παντουργὸν δεσπότην εὐλογήσω,
οὗπερ ἀεὶ τὴν αἴνεσιν τὸ στόμα μου λαλήσει·
ἐν τῷ θεῷ μου τὴν ψυχὴν εὑρήσω κροτουμένην,
τερφθήτωσαν ἀκούσαντες ὅσοι πραεῖς τὸν τρόπον. ‖117v
δεῦτε δὴ πάντες σὺν ἐμοὶ κροτεῖτε ὁμοφρόνως
καὶ τούτου μεγαλύναντες ὑψώσωμεν τὴν κλῆσιν.
ἐζήτησα τὸν κύριον, οὗτος δ' ἐπήκουσέ μου

**33** V (f. 117rv) L (ff. 198r–199r) D (ff. 205v–206r)

**33 tit.** εὐλογήσω τὸν κύριον παντὶ καιρῷ add. LD : Mi.Ps. *Poem.* 1.98–106 (ed. Westerink) in marg. inf. f. 205v D (vid. app. 1) εὐλογήσω] in marg. ὑμνήσω μου VLD **33.4** ὁμοφρόνως] τὸν δεσπότην in textu, s.l. γρ. ὁμοφρόνως V : τὸν δεσπότην LD

καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐρρύσατό με.
6 προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
7 οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ
καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό αὐτόν.
8 παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν ¦
[1]καὶ ῥύσεται αὐτούς.
9 γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος·
μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ’ αὐτόν.
10 φοβήθητε τὸν κύριον, οἱ ἅγιοι αὐτοῦ,
ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
11 πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν,
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.
12 [διάψαλμα] δεῦτε, τέκνα, ἀκούσατέ μου·
φόβον κυρίου διδάξω ὑμᾶς.
13 τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν / [2]ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
14 παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ / [2]καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
15 ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
16 ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους,
καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
17 πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ
τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
18 ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.
19 ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν
καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
20 πολλαὶ αἱ θλίψεις τῶν δικαίων,
καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς <ὁ κύριος>.
21 φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν,
ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
22 θάνατος ἁμαρτωλῶν πονηρός,
καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν.
23 λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ,
καὶ οὐ μὴ πλημμελήσωσιν πάντες οἱ ἐλπίζοντες ἐπ’ αὐτόν.

**33: 7.2** ἐρρύσατο] U $L^{pau}$ (etiam 267) He : ἔσωσεν Rahlfs αὐτόν] cfr. με 274 (vid. apparatum H.–P.) **33: 17.2** ἐξολοθρεῦσαι] 2038 *L′* (etiam 267) A : ἐξολεθρεῦσαι B′ U′ R 55, ergo Rahlfs **33: 20.2** ὁ κύριος] add. VulgAug *L′′* (etiam 267) A′′ : om. Rahlfs **33: 21.1** φυλάσσει κύριος] sic disponunt VulgAug *L′′* (etiam 267) A′′

καὶ τῶν πολλῶν με καὶ δεινῶν ἐρρύσατο κινδύνων.
πρὸς τοῦτον δὴ προσέλθετε καὶ φωτισθήσεσθέ μοι,
οὐ γὰρ καταισχυνθήσεσθε τὰς ὄψεις φωτισθέντες.
ἔκραξεν οὗτος ὁ πτωχός, ἤκουσεν ὁ δεσπότης
καὶ τῶν λυπούντων ἔδειξε τοῦτο εὐθὺς βελτίω.
νοῦς τοῦ θεοῦ παρεμβαλεῖ τοῖς τοῦτον φοβουμένοις
καὶ τοῦτον ῥύσεται παντὸς κινδύνου φιλανθρώπως.
γεύσασθε δὴ καὶ βλέψατε· χρηστός γαρ ὁ δεσπότης.
μάκαρ ἀνὴρ ὁ πρὸς αὐτὸν ἰθύνων τὴν ἐλπίδα.
φοβήθητε τὸν κύριον οἱ καθαροὶ τὸν βίον·
οὐκ ἔστι γὰρ ὑστέρημα τοῖς τοῦτον δεδοικόσι.
πλούσιοι μὲν ἐπτώχευσαν μέχρις ἐσχάτης πείνης,
οἱ δ’ ἐκζητοῦντες τὸν θεὸν ἕξουσι πάντων κόρον.
δεῦτε μοι τέκνα ποθεινὰ μᾶλλον ἀκούσατέ μου·
ὑμῖν γὰρ εἰσηγήσομαι τὸν τοῦ κυρίου φόβον.
τίς ἐστιν ἄνθρωπος ὁ ζῆν ἐθέλων ἀκινδύνως;
παῦσον τὴν γλῶσσαν σου κακοῦ καὶ δόλον μὴ λαλήσῃς,
ἔκκλινον δὲ τοῦ πονεροῦ καὶ πρᾶξον τὸ καθῆκον,
ζήτησον δὲ καὶ δίωξον ὡς ἔχεις τὴν εἰρήνην.
ἐπὶ δικαίους ὀφθαλμοὶ τοῦ βλέποντος ὀξέως,
εἰς δὲ τὴν τούτων δέησιν ὦτα προσέχων κλίνει,
πρὸς δὲ τοὺς δρῶντας τὰ κακὰ τὸ πρόσωπον ἐκφαίνει
ὥστε τὴν τούτων ἀπὸ γῆς ἐξολοθρεῦσαι μνήμην.
τῆς τῶν δικαίων δὲ κραυγῆς ἤκουσεν ὁ δεσπότης,
ἐκ δὲ πασῶν τῶν θλίψεων ἐρρύσατο τοὺς δούλους.
ἐγγύς ἐστιν ὁ κύριος τοῖς τεταπεινωμένοις
καὶ τοὺς τῷ πνεύματι πραεῖς τηρήσει φιλανθρώπως.
πολλαί τινες καὶ δυσχερεῖς αἱ θλίψεις τῶν δικαίων,
πασῶν δε τούτων ῥύσεται σφᾶς ὁ κοινὸς δεσπότης,
πάντα φυλάσσει κύριος τὰ κατ’ αὐτοὺς ὀστέα·
ἓν ἐξ αὐτῶν εἰς συντριβὴν οὐδόλως ἀπολεῖται.
ἔστι δὲ πότμος πονηρὸς ὁ τῶν ἁμαρτανόντων,
οἱ τῷ δικαίῳ δυσμενεῖς εἰκότως ἀθυμοῦσι.
τὰς δὲ ψυχὰς λυτρώσεται τῶν δούλων ὁ δεσπότης,
οὐ μὴ δὲ πλημμελήσωσιν οἱ τούτῳ πεποιθότες.

**33.15** δή] om. LD **33.40** δέ] γάρ D **33.43** δέ] γε D

**XXXIV – Ψαλμὸς τῷ Δαυίδ**

Δίκασον, κύριε, τοὺς ἀδικοῦντάς με,
πολέμησον τοὺς πολεμοῦντάς με.
2 ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς βοήθειάν μου,
3 ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με·
εἰπὸν<·> τῇ ψυχῇ μου σωτηρία σου ἐγώ εἰμι.
4 αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου,
ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω ¦
[2]καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.
5 γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου,
καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς·
6 γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα,
καὶ ἄγγελος κυρίου καταδιώκων αὐτούς·
7 ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν,
μάτην ὠνείδισαν τὴν ψυχήν μου.
8 ἐλθέτω αὐτοῖς παγίς ἣν οὐ γινώσκει,
καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν,
καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.
9 ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ,
τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ·
10 πάντα τὰ ὀστᾶ μου ἐροῦσιν Κύριε, τίς ὅμοιός σοι;
ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ
καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.
11 ἀναστάντες μάρτυρες ἄδικοι ¦
[1]ἃ οὐκ ἐγίνωσκον ἠρώτων με·
12 ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν
καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.
13 ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον
καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου,

---

**34 tit.** sic La$^{G}$ *L*′ (etiam 267) A **34: 8.1–3** αὐτοῖς … γινώσκει … ἔκρυψε … αὐτόν … πεσεῖται] sing. Sa$^{B}$ Ga *L*″ (etiam 267) Th : plu. B″ Sa$^{L}$-1221 R″ 1219′, ergo Rahlfs **34: 11.1** in duo stichos sic dividunt Sa La$^{G}$ Ga 1219 **34: 12.1** ἀγαθῶν] R *L*′’ (etiam 267) A’ : καλῶν B′ 2013–1221, ergo Rahlfs

## 34 – Ψαλμὸς τῷ Δαυίδ

Τοὺς ἀδικοῦντας με δεινῶς δίκασον, παντοκράτορ,
καὶ τοὺς ἐκπολεμοῦντας με πολέμησον ὑψόθεν·
ὅπλον λαβὼν καὶ θυρεὸν ἐλθέ μοι βοηθήσων,
συγκλείσας τοὺς διώκοντας, ἔκχεον δὴ ῥομφαίαν.
εἶπον· «ἐγώ μου τῇ ψυχῇ σὴ μένω σωτηρία.»
οἱ τὴν ψυχὴν ζητοῦντες μου λαβέτωσαν αἰσχύνην,
ἀποστραφήτωσαν οἰκτρῶς εἰς τὰ κατόπιν μέρη
καὶ συστολῇ κρυπτέσθωσαν οἱ κατ’ ἐμοῦ φρονοῦντες
καὶ γενηθήτωσαν ὡς χνοὺς εἰς πρόσωπον ἀνέμου
καί τις ἐκθλίβων ἄγγελος τούτους ἐξ ὕψους θεῖος.
σκότος ἐν ὀλισθήματι τούτων ἡ τρίβος εἴη
καὶ πάλιν ἄγγελος θεοῦ καταδιώκων τούτους·
προῖκα γαρ ἔκρυψαν ἐμοὶ παγίδος κακουργίαν,
ὠνείδισάν μοι τὴν ψυχὴν ὡς ἐνοχλοῦντες μάτην.
ἐλθέτω τούτῳ τις παγὶς μηδόλως ἐγνωσμένη,
ὑπὸ δὲ θήρας παρ’ αὐτῷ κρυβείσης συλληφθήτω·
ἐν γὰρ αὐτῇ μὴ δεδορκὼς πεσεῖται τῇ παγίδι.
ἐπὶ δὲ τῷ κυρίῳ μου χαιρήσει μου τὸ πνεῦμα
καὶ τούτου τὸ σωτήριον τέρψις αὐτῷ φανεῖται.
«τίς κατὰ σὲ τὸν παντουργόν» ἐροῦσι μου τὰ κῶλα
«{τῶν} στερεωτέρων πτωχὸν ἐλεύθερον δεικνύων ‖[118r]
καὶ τὸν πτωχὸν καὶ ταπεινὸν ἐκ τῶν διαρπαζόντων;»
μάρτυρες ἄδικοί τινες ποθὲν ἐξαναστάντες
ἠρώτων με χλευάζοντες, ἅπερ αὐτὸς οὐκ ᾔδειν.
καὶ πονηρὰ τῶν ἀγαθῶν ἀνταπεδίδοσάν μοι
καὶ τῇ ψυχῇ μου προύφερον ἐλπίδων ἀτεκνίαν.
ἐγώ δε σάκκον ἐπ’ αὐτοῖς ὀχλοῦσιν ἠμπισχόμην,
νηστείᾳ δέ μου τὴν ψυχὴν βρωμάτων ἐταπείνουν,

**34** V (f. 117v–118r) L (ff. 199r–200r) D (ff. 206rv)

**34 tit.** δίκασον κύριε τοὺς ἀδικοῦντας με add. L **33.14** ὠνείδισαν] ὀνείδισαν LD **34.21** τῶν … δεικνύων] ante corr. hypometrum fuit, deinde τῶν in rubr. add. V, sed sic versus metrice mendosus est : στερεωτέρων δέ em. LD **34.23** ἐξαναστάντες] ἐρεθισθέντες in textu V et in marg. s.l. γρ. ἐξαναστάντες : ἐξαναστάντες in textu et in marg. sup. ἐρεθιστέντες L : ἐρεθιστέντες in textu D

καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.
14 ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν·
ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην.
15 καὶ κατ' ἐμοῦ ηὐφράνθησαν καὶ συνήχθησαν,
συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων,
διεσχίσθησαν καὶ οὐ κατενύγησαν.
16 ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν,
ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. / 17 κύριε, πότε ἐπόψῃ;
ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν,
ἀπὸ λεόντων τὴν μονογενῆ μου.
18 ἐξομολογήσομαί σοι, κύριε, ἐν ἐκκλησίᾳ πολλῇ,
ἐν λαῷ βαρεῖ αἰνέσω σε.
19 μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως,
οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς.
20 ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν
καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο
21 καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν,
εἶπον Εὖγε εὖγε, εἶδαν οἱ ὀφθαλμοὶ ἡμῶν.
22 εἶδες, κύριε, μὴ παρασιωπήσῃς,
κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ·
23 ἐξεγέρθητι, κύριε, καὶ πρόσχες τῇ κρίσει μου,
ὁ θεός μου καὶ ὁ κύριός μου, εἰς τὴν δίκην μου.
24 κρῖνόν με κατὰ τὴν δικαιοσύνην σου, κύριε ὁ θεός μου,
καὶ μὴ ἐπιχαρείησάν μοι·
25 μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν ¦
[1]Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν·
μηδὲ εἴποιεν Κατεπίομεν αὐτόν.
26 αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου,
ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ.
27 ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου
καὶ εἰπάτωσαν διὰ παντός Μεγαλυνθήτω ὁ κύριος,
οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ.
28 καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου,
ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

---

**34: 16.2–17.2** sic dividit 267 **2 34: 21.2** εἶπον 1098 *L′* (etiam 267) A **34: 25.1–2** εἴποισαν … εἴποιεν] sic 1219, ambo εἴποισαν R $L^{d(sil)}$ (etiam 267) $He^{*(vid.)}S^{c}$ A′′ : ambo εἴπαισαν B 1098 $L^{b}He^{c}$, ergo Rahlfs

εἰς κόλπον μου στραφήσεται τῆς προσευχῆς ὁ δρόμος.
ὡς ἀδελφὸν ἡμέτερον ἡγούμην τὸν πλησίον,
ὡς σκυθρωπάζων καὶ πενθῶν οὕτως ἐταπεινούμην.
ηὐφράνθησαν δὲ κατ’ ἐμοῦ συλλήβδην ἠθροισμένοι,
συνήχθησάν μοι μάστιγες, ἅσπερ αὐτὸς ἠγνόουν,
κατανυγέντες μηδαμῶς ἐσχίσθησαν εἰς μέρη.
ἐπείρασαν, ἐλύπησαν, ἐξεμυκτήρισάν με
καὶ τοὺς ὀδόντας ἔβρυξαν· κύριε, πότε βλέψεις;
θᾶττον μου ῥῦσαι τὴν ψυχὴν τῆς τούτων κακουργίας
καὶ τὴν ἐμὴν μονογενῆ τῶν αἱμοβόρων σκύμνων.
ἐν ἐκκλησίᾳ σε πολλῇ δοξάσω, παντοκράτορ,
ἐν δὲ λαῷ τινι βαρεῖ τοὺς ὕμνους ἀπαρτίσω.
οἱ μάτην μοι μαχόμενοι μηδόλως εὐφρανθεῖεν,
οἱ δωρεὰν μισοῦντες με καὶ βλέποντες ἐν δόλῳ·
ἐμοὶ μὲν γὰρ τὰ πρὸς αὐτὴν ἐλάλουν τὴν εἰρήνην,
μετὰ δὲ μήνιδος πικρᾶς ἔκρυπτον ἄλλους δόλους
καὶ κατ’ ἐμοῦ λυττήσαντες ἐπλάτυναν τὸ στόμα,
εἶπον· «ὑπέρευγε καὶ γὰρ εἶδον ἡμῶν αἱ κόραι»
εἶδες ὁ βλέπων ἅπαντα μὴ παρασιωπήσῃς,
μὴ δ’ ἀποστήσῃς ἀπ’ ἐμοῦ τὴν ἀγαθότητά σου·
ἐγέρθητι καὶ πρόσχες μου, φιλάνθρωπε, τῇ κρίσει,
ὁ πλάστης καὶ δεσπότης μου πρὸς τὴν ἐξ ἔργων δίκην.
κατὰ τὴν σήν με δίκασον οὐρανοῦ δρόμον θέμιν
καὶ μὴ δ’ ἐπιχαρείησαν οἱ προσιστάμενοί μοι,
μὴ δ’ εἴποισαν ἐν ταῖς αὐτῶν οἱ πονηροὶ καρδίαις,
«εὖγε, δίς εὖγε, τῇ ψυχῇ τῇ καθ’ ἡμᾶς ἐν τούτοις»,
μὴ δ’ εἴποιεν ὡς ἥδιστα καταπεπώκασί με.
οἱ τοῖς κακοῖς μου χαίροντες πληρούσθωσαν αἰσχύνης,
οἱ δὲ μεγαλορρήμονες ἀτιμοτάτου βίου,
οἱ θέλοντες τὴν δίκην μου περιφανῶς τερφθεῖεν,
διαπαντός δ’ εἰπάτωσαν· «ὁ κτίστης δοξασθήτω»,
οἱ θέλοντες τοῦ δούλου σου τὴν σταθερὰν εἰρήνην.
δικαιοσύνην δὲ τὴν σὴν ἡ γλῶσσα μου λαλήσει
καὶ τὸν ἐκ βάθους ἔπαινον εἰς ὅλην τὴν ἡμέραν.

---

**34.55** καταπεπώκασι] καταπεπτώκασι D

## XXXV – Εἰς τὸ τέλος· τῷ παιδὶ κυρίου τῷ Δαυίδ

2 Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ,
οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ·
3 ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ
τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.
4 τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος,
οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι·
5 ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ,
παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ,
κακίᾳ δὲ οὐ προσώχθισεν.
6 κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου,
καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν·
7 ἡ δικαιοσύνη σου ὡσεὶ ὄρη θεοῦ,
τὰ κρίματά σου ἄβυσσος πολλή·
ἀνθρώπους καὶ κτήνη σώσεις, κύριε.
8 ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ θεός·
οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν.
9 μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴκου σου,
καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς·
10 ὅτι παρὰ σοὶ πηγὴ ζωῆς,
ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
11 παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε
καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.
12 μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας,
καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με.
13 ἐκεῖ ἔπεσον <πάντες> οἱ ἐργαζόμενοι τὴν ἀνομίαν,
ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι.

---

**35 tit.** τῷ παιδί] Bo *L*$^{pau}$ (etiam 267) **35: 4.2** ἠβουλήθη] H.–P. necnon 267 : ἐβουλήθη Rahlfs **35: 5.3** κακίᾳ δέ] R *L*′ (etiam 267) A : τῇ δὲ κακίᾳ B′ 2013 R 55, ergo Rahlfs **35: 13.1** πάντες] B R″ *L* (etiam 267) Tht$^{p}$’Th A″ : om. Rahlfs

## 35 – Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαυίδ

Ὁ δυσσεβὴς καθ’ ἑαυτὸν ἂν ἁμαρτάνοι λέγει,
οὐκ ἔστι φόβος τις θεοῦ πρὸ τῶν αὐτοῦ βλεφάρων
καὶ γὰρ ἐνώπιον αὐτοῦ δόλος ἐστὶν ἐκ τούτου
ὥστε τὴν ἄνομον βουλὴν εὑρεῖν τε καὶ μισῆσαι.
ῥῆσις τοῦ στόματος αὐτοῦ σὺν ἀνομίᾳ δόλος,
οὐκ ἠβουλήθη συνετῶς ἐργάσασθαι τὸ πρέπον.
τῆς ἀνομίας φροντιστὴς ὑπῆρξεν εἰς τὴν κοίτην,
τρίβῳ δὲ πάσῃ πονηρᾷ παρέστη κακοτρόπως,
κακίᾳ δὲ προσώχθισεν οὐδόλως ἀποστρόφῳ.
ἐν οὐρανῷ, παμβασιλεῦ, τοὺς οἰκτιρμοὺς ἐκτείνεις,
τὸ δ’ ἀληθές σου πρόεισιν ἄχρι νεφῶν ἐκτρέχον.
ἡ δὲ δικαιοσύνη σου κατὰ τοὺς θείους λόφους,
ὑπερχεθεῖσαν ἄβυσσον οἶδα τὰ κρίματά σου.
ἀνθρώπους ἅμα κτήνεσιν ὁ παντοκράτωρ σώσεις
πληθύνας σου τοὺς οἰκτιρμοὺς καὶ τὴν χρηστότητά σου.
οἱ παῖδες δὲ τῶν γηγενῶν ὑπὸ τὴν πτέρυγά σου, ‖118v
ἀπὸ πιότητος τοῦ σοῦ λήψονται μέθην δόμου
καὶ τῷ χειμάρρῳ τῆς τρυφῆς τούτους αὐτὸς ἀρδεύσεις.
πηγὴ ζωῆς γαρ παρὰ σοί, δέσποτα παντοκράτορ,
φῶς καθαρὸν ὀψόμεθα τῷ μυστικῷ φωτί σου.
παράτεινον τοὺς οἰκτιρμοὺς πρὸς τοὺς γινώσκοντάς σε
καὶ τὴν δικαιοσύνην σου τοῖς τὴν ψυχὴν εὐθέσιν.
ἐγγὺς μὴ φοιτησάτω μοι ποὺς ὑπερηφανίας
καὶ χείρ τινος ἁμαρτωλοῦ μηδόλως με σαλεύσαι·
πάντες ἐκεῖ πεπτώκασιν οἱ τῶν κακῶν ἐργάται,
ἐξώσθησαν ὡς μηδαμῶς καὶ στῆναι δυνηθῆναι.

**35** V (ff. 118rv) L (ff. 200rv) D (f. 206v)

**35 tit.** εἰς τὸ τέλος τῷ δούλῳ κυρίου τῷ Δαυίδ· φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν LD : commentaria (vid. app.) in marg. f. 206v D **35.17** πιότητος] em. ex Ps., cfr. MPs. 62.10 : ποιότητος VLD

**XXXVI – Ψαλμὸς τῷ Δαυίδ**

Μὴ παραζήλου ἐν πονηρευομένοις
μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν·
2 ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται
καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται.
3 ἔλπισον ἐπὶ κύριον καὶ ποίει χρηστότητα
καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς·
4 κατατρύφησον τοῦ κυρίου, / [2]καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.
5 ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου
καὶ ἔλπισον ἐπ’ αὐτόν, καὶ αὐτὸς ποιήσει
6 καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου
καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν.
7 ὑποτάγηθι τῷ κυρίῳ καὶ ἱκέτευσον αὐτόν·
μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ,/[2]ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας.
8 παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν,
μὴ παραζήλου ὥστε πονηρεύεσθαι·
9 ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται,
οἱ δὲ ὑπομένοντες τὸν κύριον αὐτοὶ κληρονομήσουσιν γῆν.
10 καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός,
καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς·
11 οἱ δὲ πραεῖς κληρονομήσουσιν γῆν
καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.
12 παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον
καὶ βρύξει ἐπ’ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ·
13 ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν / [2]ὅτι προβλέπει
ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ.
14 ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί,
ἐνέτειναν τόξον αὐτῶν / [3]τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα,
τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ·
15 ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν,
καὶ τὰ τόξα αὐτῶν συντριβείη.
16 κρεῖσσον ὀλίγον τῷ δικαίῳ / [2]ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν·
17 ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται,

---

**36 tit.** 2046 Vulg. *L* (etiam 267, non He) **36: 4.1–2** duo stichi in Ga$^{c}$ (necnon 267), ergo Rahlfs, unus rel. codd. **36: 9.1** ἐξολοθρευθήσονται] B 2046 *L*′ (etiam 267) 55 : ἐξολεθρευθήσονται S 2013 R A, ergo Rahlfs. Sic etiam in Ps. 36: 22.1, 28.5, 34.3, 38.1 et 2 **36: 14.2–3** unus stichus S 2013’ A **36: 15.2** συντριβείη] R *L*′ (etiam 267) A **36: 16.1–2** unus stichus in B′ 2013’ He 1219’ necnon 267

## 36 – Ψαλμὸς τῷ Δαυίδ

Μὴ παραζήλου μηδαμῶς ἐν πονηρευομένοις,
μὴ δὲ ποιοῦντας τὰ κακὰ τοὺς παρανόμους ζήλου·
καὶ γὰρ ἐξικμασθήσονται θᾶττον ὡς χόρτος θέρους,
ὥς τινα χλόης λάχανα πεσόντες παραυτίκα.
ἔλπισον ἐπὶ κύριον, χρηστότητα δὲ ποίει,
τὴν γῆν δὲ κατασκήνωσον καὶ ποιμανθήσῃ πλούτῳ.
τοῦ κτίστου κατατρύφησον· λήψῃ γὰρ ἅπερ θέλεις.
ἐκκάλυψον πρὸς κύριον τοῦ βίου σου τὴν τρίβον·
ἂν γὰρ ἐλπίσῃς ἐπ' αὐτόν, οὗτος ἐργάσεταί σοι
καὶ τὴν δικαιοσύνην σου καθάπερ φῶς ἐξοίσει,
τὸ κρῖμα δέ σου παρευθὺς καθάπερ μεσημβρίαν.
μετὰ πολλῆς ὑποταγῆς ἱκέτευσον τὸ θεῖον,
μὴ παραζήλου πονηρῷ τῷ κατευοδουμένῳ,
λῆξον τοῦ πάθους τῆς ὀργῆς τὸ θυμικὸν φαυλίσας,
μὴ παραζήλου πονηρὸν ὥστε δεικνύειν τρόπον·
οἱ γὰρ πονηρευόμενοι συλλήβδην ἀπολοῦνται,
οἱ δ' ὑπομένοντες θεὸν γῆς οὗτοι κληρονόμοι.
μετὰ μικρόν δ' ἁμαρτωλὸς ζῶν οὐ φανεῖται χρόνον·
οὐ γὰρ εὑρήσεις τὸν αὐτὸν καίπερ ζητήσας τόπον.
οἱ δὲ τὸν τρόπον προσηνεῖς γῆς οὗτοι κληρονόμοι,
οἳ καὶ κατατρυφήσουσι τοῦ πλήθους τῆς εἰρήνης.
ἁμαρτωλὸς τὸν δίκαιον παρατηρήσεταί πως
καὶ τοὺς ὀδόντας ἐπ' αὐτὸν θήξει καὶ βρύξει φρίξας.
θεός δε τοῦτον ἐκγελῶν, ὃ πείσεται, προβλέπει,
ἐπείπερ ἥξει πρὸς αὐτὸν τῆς τελευτῆς ὁ χρόνος.
ἐσπάσαντο κομπάσαντες οἱ δυσσεβεῖς ῥομφαίαν,
τόξον ἐνέτειναν αὐτῶν κατὰ πτωχοῦ καὶ πράου
ὥστε βαλεῖν ἐπὶ σφαγῇ τοὺς ἴσους τὴν καρδίαν.
ἐν ταῖς καρδίαις ἑαυτῶν ἡ κατ' αὐτοὺς ῥομφαία
καὶ τούτων ὡς ἐξίτηλα τὰ τόξα συντριβείη·
κρεῖσσον ὀλίγον τῷ χρηστῷ τοῦ παρὰ φαύλοις πλούτου.
βραχίονες ἁμαρτωλῶν ἐν συντριβῇ καμφθεῖεν,

**36** V (ff. 118v–119r) L (ff. 200v–202v) D (ff. 206v–207r)

**36 tit.** εἰς τέλος ψαλμὸς τῷ Δαυίδ· μὴ παραζήλου ἐν πονηρευομένοις LD : Mi.Ps. *Poem.* 1.107–108 (ed. Westerink) in marg. inf. f. 207r D (vid. app. 1) **36.6** πλούτῳ] πλούτου LD **36.19** εὑρήσεις] εὑρήσῃς D **36.24** δε] γάρ D

ὑποστηρίζει δὲ τοὺς δικαίους κύριος.
18 γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων,
καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται·
19 οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ
καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.
20 ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται,
οἱ δὲ ἐχθροὶ τοῦ κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι
ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον.
21 δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτείσει,
ὁ δὲ δίκαιος οἰκτίρει καὶ δίδωσιν·
22 ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν,
οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται.
23 παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται,
καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα·
24 ὅταν πέσῃ, οὐ καταραχθήσεται,
ὅτι κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.
25 νεώτερος ἐγενόμην καὶ γὰρ ἐγήρασα
καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον
οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους·
26 ὅλην τὴν ἡμέραν ἐλεᾷ καὶ δανείζει ὁ δίκαιος,
καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.
27 ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν
καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος·
28 ὅτι κύριος ἀγαπᾷ κρίσιν
καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ,
εἰς τὸν αἰῶνα φυλαχθήσονται.
ἄνομοι δὲ ἐκδιωχθήσονται, / [5]καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται·
29 δίκαιοι δὲ κληρονομήσουσι γῆν
καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ’ αὐτῆς.
30 στόμα δικαίου μελετήσει σοφίαν,
καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν·
31 ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ,
καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ.
32 κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον
καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν,

---

**36: 21.1** ἀποτείσει] ἀποτίσει 267 **36: 21.2** δίδωσιν] *L*´ (etiam 267) A´ : διδοῖ B´ 2013–2046 R 55, ergo Rahlfs **36: 23.2** σφόδρα] *L*´’ (etiam 267) SuTh A´ **36: 26.1** ὁ δίκαιος] *L*´’ (etiam 267) A´’ , deinde fort. ἐλεεῖ pro ἐλεᾷ ut in 2013 *L*´ A necnon in 267 **36: 28.4–5** unus stichus 2013 R’’

τοὺς δὲ δικαίους κύριος εὐσπλάγχνως ὑπερείδει.
γινώσκει πάσας κύριος τὰς τρίβους τῶν ἀμώμων,
ἔσται δὲ μέχρι τοῦ παντὸς ἡ τούτων κληρουχία
κἀν τῷ καιρῷ τῶν δυσχερῶν οὐχ ἕξουσιν αἰσχύνην,
κόρον δὲ λήψονται τροφῆς, κἂν ὁ λιμὸς ἀντέχῃ.
οἱ φαῦλοι γὰρ καὶ πονηροὶ τὸν τρόπον ἀπολοῦνται,
οἱ δυσμενεῖς δε τῷ θυμῷ μετὰ τὸ δοξασθῆναι
ἐκλείποντες ἐξέλιπον ὡσεὶ καπνὸς ἀθρόοι.
ἁμαρτωλὸς δανείζεται καὶ πόθεν ἀποτίσει,
οἰκτείρει δὲ καὶ δίδωσι πᾶς ἀγαθὸς ἀφθόνως.
γῆν δὲ κληρονομήσουσιν οἱ τοῦτον εὐλογοῦντες,
οἱ καταρώμενοι δ’ αὐτὸν ὀλοῦνται παραυτίκα.
ἀνθρώπου κατευθύνονται παρὰ κυρίου τρίβοι
καὶ τὴν ἀπρόσκοπον ὁδὸν τούτου θελήσει σφόδρα.
ὃς οὐ καταρραχθήσεται κἂν ὀλισθήσας πέσῃ, ‖119r
τὴν χεῖρα γὰρ ὁ πανσθενὴς ἀντιστηρίζει τούτῳ.
νεώτερος γεγένημαι καὶ πρέσβυς μετὰ τοῦτο,
οὐκ εἶδον δέ που δίκαιον ἐγκαταλελειμμένον,
οὐδὲ τοῦ σπέρματος αὐτοῦ βρῶσιν αἰτοῦντας τόκους.
ὅλης ἡμέρας ὁ χρηστὸς οἰκτείρει καὶ δανείζει,
οὗπερ τὸ σπέρμα τὸ σεμνὸν εἰς εὐλογίαν ἔσται.
ἔκκλινον θᾶσσον τὸ κακὸν καὶ πρᾶξον τὸ καθῆκον
καὶ κατασκήνου τοῦ παντὸς μέχρις αἰῶνος χαίρων·
καὶ γὰρ ὁ κτίστης ἀγαπᾷ σώζειν ἐθέλων κρίσιν
καὶ τοὺς ὁσίους ἑαυτοῦ καταλιπεῖν οὐκ ἔχει·
εἰς τὸν αἰῶνα φυλακῆς τεύξονται σωτηρίου.
ἄνομοι διωχθήσονται, σπέρμα κακῶν ὀλεῖται
καὶ γῆν κληρονομήσουσιν οἱ δίκαιοι τὸν τρόπον,
ἐν ᾗ κατασκηνώσουσιν ἐπὶ παντὸς αἰῶνος.
στόμα δικαίου καθαρὸν σοφίαν μελετήσει,
οὗπερ ἡ γλῶσσα φθέγξεται μὴ ψευδομένην κρίσιν·
ὁ νόμος τοῦ δεσπόζοντος ἐν τῇ καρδίᾳ τούτου.
οὐχ ὑποσκελισθήσονται τοῦδε λοιπὸν αἱ τρίβοι,
ἁμαρτωλὸς τὸν δίκαιον παρατηρεῖ πολλάκις,
ζητεῖ δε τοῦτον κατασχεῖν ἀλλὰ καὶ θανατῶσαι.

**36.47** καταρραχθήσεται] fort. Philes hanc lectionem in Ps. legit : καταραχθήσεται L : ταραχθήσεται D
**36.59** διωχθήσονται] διαχθήσονται D

33 ὁ δὲ κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ
οὐδὲ μὴ καταδικάσηται αὐτόν, ὅταν κρίνηται αὐτῷ.
34 ὑπόμεινον τὸν κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ,
καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν·
ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει.
35 εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον
καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου·
36 καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν,
καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.
37 φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα,
ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ·
38 οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό,
τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται.
39 σωτηρία δὲ τῶν δικαίων παρὰ κυρίου,
καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως,
40 καὶ βοηθήσει αὐτοῖς κύριος καὶ ῥύσεται αὐτοὺς
καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν
καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ’ αὐτόν.

### XXXVII – Ψαλμὸς τῷ Δαυίδ· εἰς ἀνάμνησιν περὶ σαββάτου

2 Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με / [2]μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
3 ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι,
καὶ ἐπεστήριξας ἐπ’ ἐμὲ τὴν χεῖρά σου·
4 οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου,
οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.
5 ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου,
ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ’ ἐμέ.
6 προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου
ἀπὸ προσώπου τῆς ἀφροσύνης μου·
7 ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους,

**36: 34.3** ὄψει] *L′* (etiam 267) : ὄψῃ Rahlfs **36: 35.1** τόν] *L′* (etiam 267) 2013 A′ : om. B′ R 55, ergo Rahlfs **36: 37.1** ἴδε] H.–P. et 267 : ἰδὲ Rahlfs **37: 3.2** ἐπεστήριξας] *L′* (etiam 267) et Sy in marg. : ἐπεστήρισας rel. codd., ergo Rahlfs

θεός δ’ ἐκείνου ταῖς χερσὶν οὐ παραδώσει τοῦτον,
οὐδ’ ὅταν τούτῳ κρίνηται, καταδικάσει τοῦτον.
ὑπόμεινον τὸν κύριον, οὗ φύλαξον τὴν τρίβον
καὶ γὰρ ὑψώσει σε τοῦ γῆν κατακληρονομῆσαι·
ὄψει γε μὴν ἁμαρτωλοὺς ἐξολοθρευομένους.
εἶδον ὑπερυψούμενον τὸν ἀσεβῆ καὶ κοῦφον
καὶ γῆθεν ἐπαιρόμενον κέδρων Λιβάνου τρόπον,
εἶδον δ’ οὐκέτι παρελθὼν τὴν ἔπαρσιν ἐκείνου,
ὃν καὶ ζητῶν ἐπιμελῶς οὐδὲ τὸν τόπον εὗρον.
τὴν ἀκακίαν φύλαξον, εὐθύτητα δὲ βλέψον·
ἔστι γὰρ ἐγκατάλειμμα τῷ φίλῳ τῆς εἰρήνης.
οἱ δὲ παρανομήσαντες συλλήβδην ἀπολοῦνται
καὶ τοῖς ἐγκαταλείμμασι τῶν ἀσεβῶν ἡ λύμη.
ὁ πλάστης δὲ τοῖς ἀγαθοῖς βραβεύει σωτηρίαν,
ὧν εἰς καιρὸν ἀβούλητον ὑπερασπίζειν θέλει·
ἔσται δὲ τούτοις βοηθὸς καὶ ῥύσεται κινδύνων
καὶ δείξει τῶν ἁμαρτωλῶν ἀπηλλαγμένους τούτους,
ὡς ἐπ’ αὐτὸν ἐλπίσαντας καὶ σώσει παραχρῆμα.

Δόξα. Κάθισμα ε΄

### 37 – Ψαλμὸς τῷ Δαυὶδ εἰς ἀνάμνησιν περὶ τοῦ σαββάτου

Μὴ πρὸς θυμὸν ἐλέγξῃς με, μὴ δ’ ἐν ὀργῇ παιδεύσῃς,
ἐπείπερ ἐνεπάγη μοι τὰ βέλη σου, παντάναξ,
τὴν χεῖρα σου στηρίξαντος ἐπὶ τὸν πάσχοντά με.
ἂν ὀργισθῇς γὰρ ἴασις οὐκ ἔστι τῇ σαρκί μου,
ἐκ τῶν παθῶν δ’ οὐκ ἔστι μου γαλήνη τοῖς ὀστέοις·
τὴν κεφαλήν γαρ τὴν ἐμὴν αἱ πράξεις ὑπερῆραν,
ὡς φόρτος δέ τις ἐπαχθὴς βάρος ἐκτήσαντό μοι.
προσώζεσαν οἱ μώλωπες σαπέντες μοι τῶν πόνων
ἀπὸ προσώπου τῆς ἐμῆς πρὸς τὸ καλὸν ἀγνοίας.
ταλαιπωρήσας χαλεπῶς εἰς τέλος κατεκάμφθην,

**37** V (ff. 119rv) L (ff. 202v–203v) D (ff. 207rv) Vat (35v–36v)

**36.85** παραχρῆμα] παραυτίκα in textu et in marg. παραχρῆμα V : in textu LD, παραυτίκα in marg. L **37 tit.** κύριε μὴ τῷ θυμῷ σου ἐ add. L : κύριε μὴ τῷ θυμῷ σου ἐλέξ D : Mi.Ps. *Poem.* 54.512–519 (ed. Westerink) add. Vat, f. 35v (vid. app. 2) **37.1** θυμόν] θαμόν V **37.5** μου] μοι Vat **37.6** ὑπερῆραν] ὑπερ ἦραν Vat

ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.
8 ὅτι αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμῶν,
καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου·
9 ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα,
ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
10 κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου,
καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη.
11 ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέν με ἡ ἰσχύς μου,
καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστιν μετ’ ἐμοῦ.
12 οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ¦
[1]ἤγγισαν καὶ ἔστησαν / [2]καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν·
13 καὶ ἐξεβιάσαντο οἱ ζητοῦντες τὴν ψυχήν μου,
καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας
καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
14 ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον / [2]καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ
15 καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων / [2]καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
16 ὅτι ἐπὶ σοί, κύριε, ἤλπισα·
σὺ εἰσακούσῃ, κύριε ὁ θεός μου.
17 ὅτι εἶπα Μήποτε ἐπιχαρῶσίν μοι οἱ ἐχθροί μου·
καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ’ ἐμὲ ἐμεγαλορρημόνησαν.
18 ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος,
καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός.
19 ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ
καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
20 οἱ δὲ ἐχθροί μου ζῶσιν καὶ κεκραταίωνται ὑπὲρ ἐμέ,
καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως·
21 οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν
ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην [...],
22 μὴ ἐγκαταλίπῃς με, κύριε·
ὁ θεός μου, μὴ ἀποστῇς ἀπ’ ἐμοῦ· / 23 πρόσχες [...] κύριε τῆς σωτηρίας μου.

---

**37: 8.1** ψύαι] $L^{d}$THe$S^{c}$Th A, ergo Rahlfs : ψοίαι $L^{pau}$ 55 : ψόαι R $L^{b'}$ (etiam 267) $He^{mg}$ : ψώαι necnon ψυῖαι testantur H.–P. **37: 10.2** ἐκρύβη] cfr. ἀπεκρύβη *L′* (etiam 267) **37: 12.1** ἐξ ἐναντίας] ut in Ps. 22: 5.1 et 34: 3.1, hic ἐξεναντίας praebet 267 **37: 21.3** om. B′ $La^{G}$ Ga *L* A

ἐπορευόμην σκυθρωπὸς καθ’ ὅλην τὴν ἡμέραν.
αἱ δὲ ψυαί μου τληπαθεῖς καὶ πλήρεις ἐμπαιγμάτων,
ἴασις δέ μου τῆς σαρκὸς οὐ γίνεται τοῖς πόνοις.
ἐταπεινώθην κακωθεὶς μέχρις ἐσχάτης βλάβης
καὶ στεναγμῷ καὶ συνοχῇ καρδίας ὠρυόμην.
πᾶσαν μου, δέσποτα, πρὸς σὲ τὴν ἔφεσιν ἰθύνω,
ἀπὸ δὲ σοῦ τὸν στεναγμὸν οὐκ ἔχω κεκρυμμένον.
ἐξ ἐγκαρδίου ταραχῆς ἀπῆλθε μου τὸ σθένος,
ὡς καὶ τὸ φῶς τῶν ὀφθαλμῶν οὐδὲ γὰρ σύνεστί μοι. ‖[119v]
οἱ φίλοι δὲ καὶ πέλας μου πάντες ἐξεναντίας·
ἔστησαν γὰρ ἐγγίσαντες τῶν πέλας μακρυνθέντων.
οἱ δὲ ζητοῦντες τὴν ψυχὴν ἐξεβιάζοντό με,
οἱ δὲ ζητοῦντες τὰ κακὰ ψεῦδος ἐφθέγξαντό μοι,
οἳ καὶ μεμελετήκασι πανημερίους δόλους.
ἐγώ δε γέγονα κωφὸς καί τις οὐκ ἔχων στόμα,
ὑπῆρξα δὲ μὴ συνιεὶς, μὴ δ’ ἀντελέγχειν θέλων.
ἐπείπερ ἤλπισα πρὸς σὲ τὸν ἀρωγὸν τὸν μέγαν
καὶ σύ μου ταύτης τῆς φωνῆς εὐσπλάγχνως εἰσακούσει·
εἶπον γάρ· «μήπως ἐπ’ ἐμὲ τερφθεῖεν οἱ μισοῦντες,
ἐν γὰρ τῷ σαλευθῆναι μου τοὺς πόδας ὑψηγόρουν.»
ὅτιπερ ἕτοιμος ἐγὼ πρὸς μάστιγας ὁ τλήμων,
ἀεί δε τὰ λυποῦντα με πρὸ τῶν ἐμῶν ὀμμάτων·
ὅτι τὴν ἀνομίαν μου πάλιν αὐτὸς ἐκφράσω
καὶ μεριμνήσω μυστικῶς ὑπὲρ τῆς ἁμαρτίας.
οἱ δυσμενεῖς δὲ ζῶσι μου καὶ κραταιοῦνται πλέον,
εἰς πλῆθος δὲ γεγόνασιν ἀδίκως οἱ μισοῦντες.
οἱ δ’ ἀνταποδιδόντες μοι τὰ χείρω τῶν κρειττόνων,
διαβολαῖς ἐκέχρηντο σκοποῦντος μου τὸ πρέπον.
μὴ γοῦν ἐγκαταλίπῃς με, δέσποτα παντακράτορ,
μὴ δ’ ἀποστάς μου πρόσχες μοι, σῶτερ, ἐπίκουρέ μου.

---

**37.11** ἐπορευόμην] ἐπορεβόμην Vat **37.12** ψυαί] em. : ψιαί V, sic in Hsch. [ψ] 173 (ed. Hansen–Cunningham) et Hdn. *Orth.* 608.8 (ed. Lentz) πλήρεις] πλήρης L **37.16** πρός] πρό Vat **37.17** κεκρυμμένον] κεκρυμμένος Vat **37.18** ἀπῆλθε] ἀπήλθε Vat **37.25** κωφός] κοφῶς Vat **37.26** ὑπῆρξα] ἐπῆρξα Vat **37.28** εἰσακούσει] εἰσακούση Vat **37.39** ἐγκαταλίπῃς] ἐγκαταλίπις Vat

**XXXVIII – Εἰς τὸ τέλος, τῷ Ἰδιθοῦν· ᾠδὴ τῷ Δαυίδ**

2 Εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου·
ἐθέμην τῷ στόματί μου φυλακὴν
ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.
3 ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν,
καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη.
4 ἐθερμάνθη ἡ καρδία μου ἐντός μου,
καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ.
ἐλάλησα ἐν γλώσσῃ μου / 5 Γνώρισόν μοι, κύριε, τὸ πέρας μου
καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, / [3]ἵνα γνῶ τί ὑστερῶ ἐγώ.
6 ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου,
καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου·
πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.
7 [διάψαλμα] μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος,
πλὴν μάτην ταράσσονται·
θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.
8 καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ ὁ κύριος;
καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν.
9 ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με,
ὄνειδος ἄφρονι ἔδωκάς με.
10 ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με.
11 ἀπόστησον ἀπ’ ἐμοῦ τὰς μάστιγάς σου·
ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.
12 ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον
καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ·
πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος.
13 [διάψαλμα] εἰσάκουσον τῆς προσευχῆς μου, κύριε,
καὶ τῆς δεήσεώς μου ἐνώτισαι·
τῶν δακρύων μου μὴ παρασιωπήσῃς,
ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ
καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου.
14 ἄνες μοι, ἵνα ἀναψύξω

**38: 4.3–5.1** unus stichus Bʹ 1220 TSy A’ necnon 267 **38: 5.2–3** unus stichus S 2013 55

## 38 – Εἰς τέλος τῷ Ἰδιθοῦν· ᾠδὴ τῷ Δαυίδ

Εἶπα· «φυλάξω τὰς ὁδοὺς τὴν γλῶσσαν μου ῥυθμίσας,»
ἐθέμην δέ μου φυλακήν, ὡς εἶχον, εἰς τὸ στόμα,
ἐν τῷ πρὸ τῶν ὀμμάτων μου συστῆναι τὸν αὐθάδη.
ἐξ ἀγαθῶν ἐσίγησα κωφεύσας καὶ στυγνάσας,
ὁ πόνος δέ μου τῆς ψυχῆς ἀνακεκαίνισταί μοι.
ἐντός μου γέγονε θερμὸν τὸ πνεῦμα τῆς καρδίας,
ὥσπερ δὲ πῦρ ἡ κατ' ἐμὲ καθήσεται μελέτη·
ἐλάλησα· «τὸ πέρας μου, δέσποτα, γνώρισόν μοι
καὶ τὸ ποσὸν τῶν ἡμερῶν, ἵνα τὴν σπάνιν γνοίην.»
σῶτερ, ἰδού, μοι παλαιστὰς ὡρίσω τὰς ἡμέρας·
ἡ κατ' ἐμέ δ' ὑπόστασις οὐθέν σοι, παντοκράτορ,
πλὴν ματαιότης ἅπαντα πᾶς ἄνθρωπος ἐμπνέων,
μέντοιγε δόξαν ἄνθρωπος τὴν ἐν εἰκόνι φέρει.
πλὴν μάτην ἐκταράσσεται πρὸς τὰ ῥευστὰ τῆς ὕλης,
οὐκ οἶδε τίνι τουλοιποῦ τοὺς θησαυροὺς ἀνήσει.
νῦν δέ μοι τίς ὑπομονὴ πλὴν τοῦ κοινοῦ δεσπότου;
τὴν γὰρ ἐμὴν ὑπόστασιν μόνος αὐτὸς εἰργάσω.
σὺ γοῦν καὶ πάντων ῥῦσαι με τῶν πονηρῶν πρακτέων·
ὄνειδος γὰρ ἀφόρητον ἄφρονι δέδωκάς με.
κωφεύσας οὐ λελάληκα· σύ γαρ τὸ πᾶν εἰργάσω.
ἀπόστησόν μου τὴν τῶν σῶν ἐπαγωγὴν μαστίγων·
ὁρᾷς γάρ ὡς ἐξέλιπον ἀπὸ τῆς σῆς ἰσχύος.
ἐν ἐλεγμοῖς ὑπὲρ κακοῦ πεπαίδευκα αὐθάδη,
οὗ τὴν ψυχὴν ἐξέτηξας ὡς τὸν ἀράχνην τρύχων.
πλὴν μάτην ἅπας ἄνθρωπος τόνδε ποθεῖ τὸν βίον.
εἰσάκουσόν μου συμπαθῶς τῆς προσευχῆς, παντάναξ,
καὶ τῆς δεήσεως αὐτῆς ἐνώτισαι τοῦ δούλου
καὶ τῶν θερμῶν δακρύων μου καὶ παρασιωπήσῃς.
ταύτης τῆς γῆς με πάροικον ὁ πανσθενὴς εἰργάσω
καὶ παρεπίδημον καθὼς τοὺς πάντας μου πατέρας.
ἄνες μοι γοῦν ἀναψυχὴν ἀπὸ τῶν ἔνδον πόνων

---

**38** V (f. 119v) L (ff. 203v–204r) D (ff. 207v usque v. 26)

---

**38 tit.** ψαλμὸς τῷ Δαυὶδ εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ μή add. L : ψαλμὸς τῷ Δαυὶδ εἶπα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν D **38.6** πνεῦμα] supra rasuram σῶμα ante secundam corr., postea hoc verbum del. et in marg. πνεῦμα add. V **38.12** ματαιότης] ματαιότητος LD **38.20** οὐ λελάληκα] οὐκ ἐλάληκα LD

πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι μὴ ὑπάρξω.

### XXXIX – Εἰς τὸ τέλος ψαλμός τῷ Δαυὶδ

2 Ὑπομένων ὑπέμεινα τὸν κύριον, ¦
[1]καὶ προσέσχεν μοι / [2]καὶ εἰσήκουσεν τῆς δεήσεώς μου
3 καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας
καὶ ἀπὸ πηλοῦ ἰλύος
καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου
καὶ κατηύθυνεν τὰ διαβήματά μου
4 καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν,
ὕμνον τῷ θεῷ ἡμῶν·
ὄψονται πολλοὶ καὶ φοβηθήσονται
καὶ ἐλπιοῦσιν ἐπὶ κύριον.
5 μακάριος ἀνήρ, οὗ ἐστιν τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ
καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.
6 πολλὰ ἐποίησας σύ, κύριε ὁ θεός μου, τὰ θαυμάσιά σου,
καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστιν τίς ὁμοιωθήσεταί σοι·
ἀπήγγειλα καὶ ἐλάλησα, ¦
[3]ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.
7 θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας,
σῶμα δὲ κατηρτίσω μοι·
ὁλοκαύτωμα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας.
8 τότε εἶπον Ἰδοὺ ἥκω,
ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ·
9 τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ θεός μου, ἠβουλήθην
καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου.
10 εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ·
ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· / [3]κύριε, σὺ ἔγνως.
11 τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου,
τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα,
οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ¦
[3]ἀπὸ συναγωγῆς πολλῆς.

**39 tit.** 2013–3034 $La^{G}$ Ga $L^{d}$ (etiam 267) A **39: 7.2** σῶμα plerique codd. (etiam 267), vid. apparatum H.–P. : ὠτία $La^{G}$ Ga, ergo Rahlfs **39: 7.3** ἐζήτησας S R *L*′′ (etiam 267) A′ : ᾔτησας B $La^{G}$ Ga, ergo Rahlfs **39: 9.1** ἠβουλήθην ] H.–P. ex nonnullis codd. : ἐβουλήθην Rahlfs **39: 10.2–3** unus stichus R′ Ga T **39: 11.3** sic dividit A

πρὶν ἀπελθεῖν εἰς τὸ μηδὲν ἐκ τοῦ μηκέτι βίου.

### 39 – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ

Ὑπέμεινα τὸν κύριον καὶ κτίστην ὑπομένων, ‖[120r]
ὁ δὲ προσέσχεν ἄνωθεν ἀκούσας μου τῶν λόγων
καὶ τῆς ταλαιπωρίας με τοῦ βάθους ἀποσπάσας.
ἐρρύσατό με τοῦ πηλοῦ τῆς πονηρὰς ἰλύος,
ἔστησε δὲ τοὺς πόδας μου στηρίξας ἐπὶ πέτραν
καὶ συμπαθῶς κατεύθυνε τὰ διαβήματά μου.
ᾆσμα δ’ ἐνέβαλε καινὸν εἰς τὸ σιγῶν μου στόμα
ὕμνον αὐτῷ τῷ παντουργῷ καὶ παντοκράτορί μου.
πολλοί δε φοβηθήσονται τῶν ταῦτα δεδορκότων
καὶ πρὸς αὐτὸν ἑδράσουσι τὰς τῆς ψυχῆς ἐλπίδας.
μάκαρ ἀνήρ, ὃς ἤλπισεν ἐπὶ τῇ τούτου κλήσει,
ἀλλ’ οὐδ’ εἰς ματαιότητας ἐπεῖδε καὶ μανίας.
πολλά σου τὰ θαυμάσια πεποίηκας, παντάναξ,
τοῖς σοῖς δὲ διαλογισμοῖς ἴσος οὐδεὶς ἐστί σοι.
ἀπήγγειλα δὲ καί τινας λελαληκὼς ἐφάνην,
οἱ δὲ προκεχωρήκασιν εἰς πλῆθος ἀπειρίας.
θυσίαν οὐκ ἠθέλησας καὶ προσφορὰν ἀπώσω,
σῶμα μοι δέ, φιλάνθρωπε, τῷ δούλῳ κατηρτίσω,
οὐδ’ ἱλασμὸν ἐζήτησας τὸν ὑπὲρ ἁμαρτίας.
τότ’ εἶπον ὅτιπερ «ἰδοὺ πρὸς τὸ συνέχον ἥκω,
ἐμοῦ δε πέρι γέγραπται βιβλίου κεφαλίδι·
ποιῆσαι σου τὸ θέλημα, παντάναξ, ἠβουλήθην
καὶ μέσον τῆς κοιλίας μου καλύψαι σου τὸν νόμον.»
ἐν ἐκκλησίᾳ δὲ πολλῇ δικαιοσύνην εἶπον·
σύ δ’ ἔγνως ὡς τὰ χείλη μου τοῦ λέγειν οὐ κωλύσω,
οὐκ ἔκρυψα τὴν δίκην σου τῇ κατ’ ἐμὲ καρδίᾳ·
εἴρηκα δέ σου τἀληθὲς καὶ τὸ σωτήριόν σου,
οὐκ ἔκρυψα τὸν οἶκτον σου καὶ τὴν ἀλήθειάν σου,
ἀπὸ πολλῆς συναγωγῆς καὶ συρφετώδους δήμου.

---

**39** V (f. 119v–120r) L (ff. 204r–205r)

---

**38.32** τὸ μηδὲν ] τομηδὲν V **39 tit.** τῷ Δαυίδ ψαλμὸς ὑπομένων ὑπέμεινα τὸν κύριον L **39.21** πέρι γέγραπται ] περιγέγραπται L

12 σὺ δέ, κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ’ ἐμοῦ·
τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.
13 ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός,
κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν·
ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου,
καὶ ἡ καρδία μου ἐγκατέλιπέν με.
14 εὐδόκησον, κύριε, τοῦ ῥύσασθαί με·
κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες.
15 καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα ¦
[1]οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν […]

**XL – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ**

2 Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα·
ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος.
3 κύριος διαφυλάξαι αὐτὸν καὶ ζήσαι αὐτὸν ¦
[1]καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ / [2]καὶ μὴ παραδῴη αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.
4 κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ·
ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.
5 ἐγὼ εἶπα Κύριε, ἐλέησόν με·
ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.
6 οἱ ἐχθροί μου εἶπαν κακά μοι
Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;
7 καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει·
ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ,
ἐξεπορεύετο ἔξω καὶ ἐλάλει.
8 ἐπὶ τὸ αὐτὸ κατ’ ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου,
κατ’ ἐμοῦ ἐλογίζοντο κακά μοι,
9 λόγον παράνομον κατέθεντο κατ’ ἐμοῦ
Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;
10 καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ’ ὃν ἤλπισα,
ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ’ ἐμὲ πτερνισμόν·

**39: 15.1** sic dividunt R’ La$^{R(c)}$ Ga **39: 15.2–18.2** non inveniuntur in V **40: 3.2** ἐχθρῶν ] S’ R Ga *L*’’ (etiam 267) Th A’ : ἐχθροῦ B 2013’-2050 La, ergo Rahlfs

ἐμοῦ δε σὺ τοὺς οἰκτιρμοὺς μηδόλως ἀποστήσῃς,
ἀλλ’ ἐπὶ πᾶσι τοῖς καιροῖς ἀντιλαμβάνοιντό μου·
κακά γαρ περιέσχον με πλήθους παντὸς βελτίω,
ἐκ τῶν ἐμῶν δ’ ἀνομιῶν οὐκ ἠδυνήθην βλέπειν·
τῆς κεφαλῆς γαρ τῆς ἐμῆς ἐνίκησαν τὰς τρίχας,
ἡ δὲ καρδία μου σαφῶς ἐγκαταλέλοιπέ με.
ὁ συμπαθὴς εὐδόκησον τοῦ ῥύσασθαι τὸν δοῦλον,
εἰς δὲ τὸ βοηθῆσαι μοι πρόσχες καὶ σπεῦσον, σῶτερ.
ἅμα δ’ αἰσχύνης ἅπαντες ἐξ ἐντροπῆς πλησθεῖεν,
οἱ θέλοντές μου τὴν ψυχὴν τοῦ σώματος ἐξᾶραι.

### 40 – Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ

Ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα τρισμάκαρ·
θεός γαρ τούτων βοηθὸς εἰς πονηρὰν ἡμέραν.
φυλάξαι τοῦτον κύριος καὶ ζῆσαι καὶ δοξάσαι
καὶ μακαρίσας ἐν τῇ γῇ μὴ παραδῷ τοῖς φαύλοις. ‖[120v]
κύριος τούτου βοηθὸς ἀλγοῦντος ἐπὶ κλίνης,
ὅλην τὴν κοίτην ἔστρεψας τῇ τούτου καχεξίᾳ.
εἶπον ἐγώ σοι· «κύριε, φεῖσαι μου, παντοκράτορ,
ἴασον δέ μου τὴν ψυχήν, ὅτιπερ ἥμαρτόν σοι.»
οἱ γὰρ ἐκ πλείστου δυσμενεῖς εἰρήκασι κακά μοι·
«πότε θανεῖται καὶ φθερεῖ τοῦδε τὴν κλῆσιν τάφος;»
ἰδεῖν εἰσεπορεύετο καὶ μάτην κατελάλει,
ἡ τούτου δὲ συνήγαγε καρδία κακουργίαν,
ἔξω δὲ πορευόμενος ἐλάλει μετὰ δόλου.
οἱ δυσμενεῖς δε κατ’ ἐμοῦ ψιθυρισμοῖς ἐχρῶντο
καὶ πάντες ἐλογίζοντο κακά μοι παραυτίκα
καὶ κατ’ ἐμοῦ κατέθεντο παρανομίας λόγον·
«ἆρ’ οὐκ ἐξαναστήσεται τῆς κλίνης ὁ καθεύδων;»
ἄνθρωπος γάρ ἐστιν ἐφ’ ὃν ἐλπίζω τῆς εἰρήνης,
ὁ δὲ τὸν ἄρτον μου φαγὼν ἐπῆρε μοι τὴν πτέρναν.

**40** V (f. 120rv) L (ff. 205v–206r)

**39.39** θέλοντες] θέλοντε L  spatium album fere sex lineas inter MPs. 39 et 40 praebet V prob. pro versis qui respondebant Ps. 39: 15.2–18.2 et deperditi sunt  **40 tit.** μακάριος συνιὼν ἐπὶ πτωχὸν καί add. L  **40.2** θεός γαρ] κύριος L

11 σὺ δέ, κύριε, ἐλέησόν με ¦
[1]καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.
12 ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με,
ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ’ ἐμέ.
13 ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου,
καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.
14 Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ ¦
[1]ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. / [2]γένοιτο γένοιτο.

## XLI – Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ

2 Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων,
οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ θεός.
3 ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα·
πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ;
4 ἐγενήθη μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτὸς
ἐν τῷ λέγεσθαί μοι καθ’ ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ θεός σου;
5 ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ’ ἐμὲ τὴν ψυχήν μου,
ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ¦
[2]ἕως τοῦ οἴκου τοῦ θεοῦ
ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος.
6 ἵνα τί περίλυπος εἶ, ψυχή, ¦
[2]καὶ ἵνα τί συνταράσσεις με;
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
σωτήριον τοῦ προσώπου μου καὶ ὁ θεός μου.
7 πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη·
διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ιορδάνου ¦
[2]καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ.
8 ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρρακτῶν σου,
πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ’ ἐμὲ διῆλθον.
9 ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ,
καὶ νυκτὸς ᾠδὴ <αὐτῷ> παρ’ ἐμοί,
προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου.

---

**40: 14.1–2** sic dividunt B La$^{G}$ Ga TSy 55 **41: 3.1** τὸν ἰσχυρόν] Ga *L*′ (etiam 267) A′ **41: 6.3** καί] R’’ Vulg *L*’’ (etiam 267) Su A **41: 7.2** sic dividunt Sa SyHe A **41: 9.2** αὐτῷ] add. *L*$^{a}$ (etiam 267) S$^{c}$

σὺ δέ με κατοικτείρησον περιπεφρονημένον·
ἂν γὰρ ἐξαναστήσῃς με, τούτοις ἀνταποδώσω.
ἐν τούτῳ δ’ ἔγνων ὅτι με τεθεληκὼς τυγχάνεις,
ἂν ἐπ’ ἐμοὶ τὸν δυσμενῆ χαρά τις μὴ λαμβάνοι.
αὐτός δ’ ἀλλ’ ἀντελάβου μου διὰ τὴν ἀκακίαν
καὶ μένειν βεβαιώσας με τηρεῖς εἰς τοὺς αἰῶνας.
εὐλογημένος Ἰσραὴλ ὁ κτίστης καὶ δεσπότης,
γένοιτο γένοιτο λοιπὸν εἰς πάντας τοὺς αἰῶνας.

## 41 – Εἰς τὸ τέλος συνέσεως τοῖς υἱοῖς Κορέ

Ὡς ἡ δορκὰς ἐπιποθεῖ τὰς φλέβας τῶν ὑδάτων,
οὕτω καὶ δὲ πεπόθηκε τὸν κτίστην ἡ ψυχή μου,
ἣ τὸν θεὸν ἐδίψησε τὸν ἰσχυρὸν τὸν ζῶντα.
πότε φοιτήσω καὶ θεοῦ φανοῦμαι τῷ προσώπῳ;
ἡμέρας δ’ οὖν μοι καὶ νυκτὸς ἄρτος τὰ δάκρυά μου.
«ὁ τούτου ποῦ ποτε θεός;» ἀκούω καθεκάστην
τούτων μνησθεὶς ἐξέχεα τὴν ἐμαυτοῦ καρδίαν·
ἐν τόπῳ γὰρ ἐλεύσομαι σκηνῆς τινος ἁγίας,
ἕως τοῦ δόμου τοῦ θεοῦ τοῦ σῴζοντος ἀχρόνως
ἀγαλλιάσεως φωνῇ καὶ παγκοσμίου κρότου.
ἕνεκα τίνος σκυθρωπή, ψυχή μου, χρηματίζεις;
πῶς δὲ καὶ συνταράσσεις με κυκῶσα κατακράτος;
ἐπὶ τὸν κτίστην ἔλπισον· μεγαλυνῶ γαρ τοῦτον,
σωτήριόν μου τῆς μορφῆς αὐτός μοι καὶ δεσπότης.
πρὸς ἐμαυτόν μου τὴν ψυχὴν τεταραγμένην ἔχω,
μνησθήσομαί σοι τοιγαροῦν ἐκ γῆς τῆς Ἰορδάνου
καὶ μετ’ αὐτὴν Ἑρμωνιεὶμ ἐξ ὄρους βραχυτάτου.
ἄβυσσος ἄβυσσον καλεῖ καταρρακτῶν εἰς κτύπον,
πάντες με κατεβάπτισαν οἱ μετεωρισμοί σου.
ἡμέρας δώσει κύριος τοὺς οἰκτιρμοὺς ἀφθόνους,
νυκτὸς δὲ τούτῳ παρ’ ἐμοὶ κρότος ἡδὺς ᾀσμάτων.
τῆς δὲ ζωῆς μου τῷ θεῷ τὴν προσευχὴν εἰσοίσω·

---

**41** V (f. 120v) L (ff. 206rv) D (f. 208r ab v. 24 et absunt initiales vv. 24–30)

---

**41 tit.** εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς τῷ Δαυίδ. ὃν τρόπον πεποθεῖ ἡ ἔλαφος add. L

10 ἐρῶ τῷ θεῷ Ἀντιλήπτωρ μου εἶ· διὰ τί μου ἐπελάθου;
ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;
11 ἐν τῷ καταθλάσαι τὰ ὀστᾶ μου ὠνείδισάν με οἱ θλίβοντές με
ἐν τῷ λέγειν αὐτούς μοι καθ’ ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ θεός σου;
12 ἵνα τί περίλυπος εἶ, ψυχή, ¦
[1]καὶ ἵνα τί συνταράσσεις με;
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
σωτήριον τοῦ προσώπου μου ὁ θεός μου.

## XLII – Ψαλμὸς τῷ Δαυίδ ἀνεπίγραφος παρ’ Ἑβραίοις

Κρῖνόν με, ὁ θεός, καὶ δίκασον τὴν δίκην μου ¦
[2]ἐξ ἔθνους οὐχ ὁσίου,
ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με.
2 ὅτι σὺ εἶ, ὁ θεός, κραταίωμά μου· ¦
[1]ἵνα τί ἀπώσω με; / [2]καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ¦
[2]ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;
3 ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου·
αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με ¦
[2]εἰς ὄρος ἅγιόν σου / [3]καὶ εἰς τὰ σκηνώματά σου.
4 καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ
πρὸς τὸν θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου·
ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ θεὸς ὁ θεός μου.
5 ἵνα τί περίλυπος εἶ, ψυχή <μου> , ¦
[1]καὶ ἵνα τί συνταράσσεις με;
ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ·
σωτήριον τοῦ προσώπου μου ὁ θεός μου.

---

**41: 10.1** ἀντιλήπτωρ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs **41: 10.2** ἵνα] praemittunt καί Vulg *L*′ (etiam 267) A″, cfr. MPs. 41.24 δέ **41: 11.1** οἱ θλίβοντές με] οἱ ἐχθροί μου *L*″ (etiam 267) SuTh A’, cfr. MPs. 41.25 οἱ δυσμενεῖς **41: 12.3** σωτήριον] R *L*′ (etiam 267) La Ga : ἡ σωτηρία B′ 2013 Aug$^{p}$, ergo Rahlfs **42 tit.** ἀνεπίγραφος παρ’ Ἑβραίοις] R $L^{a\prime}$ (etiam 267) **42: 2.1–2** sic dividunt R′ Sy : ὅτι … μου$^{1}$ / ἵνα … μου$^{2}$ 267 **42: 3.2–3** sic dividit et εἰς … σου ad 3.3 trahit Sy **42: 5.1** μου] plerique codd. (etiam 267) : om. Rahlfs ex B′ 2013

ἐρῶ γάρ· «ἀντιλῆπτορ μου, τοῦ χάριν ἐπελάθου;
τοῦ δυσμενοῦς δ’ ἐκθλίβοντος πῶς σκυθρωπὸς ὁδεύω;»
τὴν τῶν ὀστῶν μου συντριβὴν οἱ δυσμενεῖς ἐκρότουν,
οἵ καθεκάστην μοι φασί· «ποῦ τὸν θεόν σου βλέπεις;»
ἕνεκα τίνος σκυθρωπή, ψυχή μου, χρηματίζεις;
πῶς δὲ καὶ συνταράσσεις με κυκῶσα κατακράτος;
ἐπὶ τὸν κτίστην ἔλπισον· μεγαλυνῶ γὰρ τοῦτον,
σωτήριόν μου τῆς μορφῆς, αὐτός μοι καὶ δεσπότης.

### 42 – Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ’ Ἑβραίοις

Κρῖνον μοι, παντοδύναμε, δικάσας μου τὴν δίκην ‖121r
ἐξ οὐχ ὁσίου καὶ δεινοῦ καὶ παρανόμου γένους,
ἀνδρός δε ῥῦσαι με παντὸς ἀδίκου καὶ δολίου.
σύ γαρ ἐμὸν κραταίωμα καὶ βάθρον, παντοκράτορ·
ἀπώσω δὲ τοῦ χάριν με καὶ σκυθρωπὸς ὁδεύω
τοῦ δυσμενοῦς ἐκθλίβοντος ὡς ἀρωγῆς οὐκ οὔσης;
φῶς ἐξαπόστειλον τὸ σὸν καὶ τὴν ἀλήθειάν σου·
αὐτά με γὰρ ὡδήγησαν, ἤγαγον δὲ κοσμίως
εἰς ὅρος ἅγιον τὸ σὸν καὶ τὰ σκηνώματά σου.
εἰς τὸ θυσιαστήριον ἥξω λοιπὸν τὸν θεῖον,
πρὸς τὸν εὐφραίνοντα θεὸν καὶ τὴν νεότητά μου,
τὸν παντουργὸν ὑμνήσω σε καὶ κτίστην κιθαρίσας.
ἕνεκα τίνος σκυθρωπή, ψυχή μου, χρηματίζεις;
πῶς δὲ καὶ συνταράσσεις με κυκῶσα κατακράτος;
ἐπὶ τὸν κτίστην ἔλπισον· μεγαλυνῶ γὰρ τοῦτον,
σωτήριόν μου τῆς μορφῆς, αὐτός μοι καὶ δεσπότης.

Δόξα

**42** V (f. 120v–121r) L (ff. 206v–207r) D (f. 208r)

**42 tit.** κρῖνον μοι ὁ θεὸς καὶ δίκασον add. LD **42.7** ἐξαπόστειλον ] ἐξαπόστειλλον D **42.14** κυκῶσα ] κυκλῶσα D

## XLIII – Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν

2 Ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν,
οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν
ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.
3 ἡ χείρ σου ἔθνη ἐξωλέθρευσεν, καὶ κατεφύτευσας αὐτούς,
ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς.
4 οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν,
καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς,
ἀλλ’ ἡ δεξιά σου καὶ ὁ βραχίων σου
καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς.
5 [...] / $^{2}$ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ·
6 ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν
καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανιστανομένους ἡμῖν.
7 οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ,
καὶ ἡ ῥομφαία μου οὐ σώσει με·
8 ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς
καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.
9 ἐν τῷ θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν
καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.
10 [διάψαλμα] νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς
καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν·
11 ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν,
καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς.
12 ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως
καὶ ἐν τοῖς ἔθνεσιν διέσπειρας ἡμᾶς·
13 ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς,
καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν.
14 ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν,
μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν·
15 ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν,
κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς.
16 ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν,
καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέν με

---

**43 tit.** sic S La$^{R}$Aug Ga *L*$^{d\prime}$ (etiam 267) He 1219 : add. ψαλμός Rahlfs **43: 5.1** om. MPs. **43: 6.2** ἐξουδενώσομεν] R *L*′ A’ : ἐξουθενώσομεν B, ergo Rahlfs **43: 13.2** ἡμῶν] Sa$^{L}$ R Ga *L*’’ (etiam 267) A’ : αὐτῶν B’’ 2013-Sa$^{B}$ La Vulg, ergo Rahlfs **43: 14.2** χλευασμόν] R *L*′ (etiam 267) Th A’ : καταγέλωτα B 2013, ergo Rahlfs

## 43 – Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν

Ἐν τοῖς ὠσὶν ἠκούσαμεν, δέσποτα παντοκράτορ,
καὶ γὰρ ἀνήγγειλαν ἡμῖν τοῖς τέμνοις οἱ πατέρες
ἔργον, ὃ πέπραχας αὐτοῖς ἡμέραις ἐν ἀρχαίαις·
καὶ γὰρ ἐφύτευσας αὐτοὺς ἐξολοθρεύσας ἔθνη,
τοὺς δυσμενεῖς ἐκάκωσας καὶ τοὺς χρηστοὺς ἐρρύσω.
οὐ γὰρ ἐκληρονόμησαν γῆν τῇ ῥομφαίᾳ τούτων,
ὥσπερ αὐτοὺς ὁ κατ’ αὐτοὺς οὐκ ἔσωσε βραχίων.
ἡ σή δε μόνη δεξιὰ καὶ μόνος ὁ βραχίων
καὶ τοῦ προσώπου σου τὸ φῶς· ηὐδόκεις γὰρ ἐν τούτοις.
ὁ σωτηρίας Ἰακὼβ ταῖς ἐντολαῖς θεσπίσας,
κερατιοῦμεν τοὺς ἐχθροὺς ὑπὸ τῆς σῆς ἰσχύος,
τῇ κλήσει δὲ φθεροῦμεν σου τοὺς ἐπανισταμένους·
οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου νευρώσω τὰς ἐλπίδας,
οὐ σώσει δέ με τῶν ἐχθρῶν οὐδ’ ἡ στιλπνὴ ῥομφαία·
μόνος γὰρ ἔσωσας ἡμᾶς ἐκ τῶν ἀντικειμένων,
τοῖς δὲ μισήσασιν ἡμᾶς ἐπήγαγες αἰσχύνην.
ἐν τῷ θεῷ τὸν ἔπαινον ἕξομεν καθημέραν,
τὴν σήν δε κλῆσιν μέλψομεν ἄχρι παντὸς αἰῶνος.
νυνί δ’ ἡμᾶς ὁ συμπαθὴς ἀπώσω καταισχύνας
κἀν ταῖς δυνάμεσιν ἡμῶν οὐκ ἐξελεύσῃ πάλιν,
ἀπέστρεψας τοὺς δούλους σου παρὰ τοὺς ἀλλοτρίους,
οἱ δὲ μισήσαντες ἡμᾶς ἥρπαζον ὥσπερ σκύλα.
ἡμᾶς δὲ τούτοις ἔδωκας ὡς θρέμματα πρὸς βρῶσιν,
ἐν δὲ τοῖς ἔθνεσιν ἡμᾶς σποράδην ἐμερίσω.
ἄνευ τιμῆς ἀπέδου σου τοὺς ἐκλεκτοὺς ἱκέτας
καὶ τοῖς ἡμῶν ἀλαλαγμοῖς πλῆθος οὐκ ἦν ἀνθρώπων.
ἔθου τοῖς γείτοσιν ἡμᾶς ὀνειδισμὸν καὶ ψόγον,
μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ προσοικοῦσιν,
παραβολὴν τὰ καθ’ ἡμᾶς τοῖς ἔθνεσιν εἰργάσω,
ἐν τοῖς λαοῖς δε κίνησιν μὴ συναλγούσης κάρας.
ἡ δ’ ἐντροπὴ διαπαντὸς πρὸ τῶν ἐμῶν ὀμμάτων,
ἐμοῦ δε πᾶν τὸ πρόσωπον ἐκάλυψεν αἰσχύνη

---

**43** V (ff. 121r–121v) L (ff. 207r–208r) D (ff. 208rv)

---

**43 tit.** ψαλμὸς τῷ Δαυὶδ ὁ θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν add. LD : Mi.Ps. *Poem.* 1.115–120 (ed. Westerink) in marg. ext. et Io.Tz. *Hist.* XI, 379.542–543 (ed. Leone) in marg. inf. f. 208r D (vid. app. 1) **43.21** δούλους] λόγους LD

17 ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος,
ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.
18 ταῦτα πάντα ἦλθεν ἐφ’ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου
καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου,
19 καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν·
καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.
20 ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως,
καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.
21 εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν
καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον,
22 οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα;
αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας.
23 ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν,
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.
24 ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, κύριε;
ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος.
25 ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις,
ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;
26 ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν,
ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν.
27 ἀνάστα, κύριε, βοήθησον ἡμῖν
καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου.

## XVIII – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ

2 Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ,
ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα·
3 ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,
καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.
4 οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι,
ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·
5 εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν

**43: 17.1** καταλαλοῦντος] 2013 *L´* (etiam 267) Th A’ : παραλαλοῦντος B Sa R He$^{c}$ 55, ergo Rahlfs

ἐξ ὀνειδίζοντος φωνῆς ἢ καὶ καταλαλοῦντος,
ἀπὸ προσώπου δυσμενοῦς διώκοντος ἀσχέτως.
ταῦτα παθόντες οὐδαμῶς ἐπελαθόμεθά σου,
κατὰ δὲ τὰ προστάγματα συντετηρήμεθά σου.
οὐδ’ ἀπεστήσαμεν αὐτῶν ὀπίσω τὴν καρδίαν,
ἀπέστησας δὲ τὰς ἡμῶν ἐκ τῆς ὁδοῦ σου τρίβους·
ἡμᾶς γαρ ἐταπείνωσας κακώσεως ἐν τόπῳ,
σκιά δ’ ἐκάλυψεν ἡμᾶς θανάτου ψυχοφθόρου.
εἰ λήθῃ παρεδώκαμεν τὴν τοῦ δεσπότου κλῆσιν,
εἰ πρὸς θεὸν ἀλλότριον τετάκαμεν τὰς χεῖρας, ‖[121v]
οὐχ ὁ θεὸς ὁ πανσθενὴς ἐξερευνήσει τάδε;
αὐτός γαρ εἶδε τὰ κρυπτὰ τῆς ἐν ἡμῖν καρδίας.
ἕνεκα γάρ σου θνήσκομεν καθ’ ὅλην τὴν ἡμέραν,
ἐκρίθημεν ὡς πρόβατα σφαγῆς τινος ἀθρόοι.
ἐγέρθητι, φιλάνθρωπε, τί γαρ ὑπνοῖς, παντάναξ;
ἀνάστηθι καὶ μηδαμῶς εἰς τέλος ἀπολέσῃς.
τὸ δὲ γλυκύ σου πρόσωπον τοῦ χάριν ἀποστρέφεις,
ἐπιλανθάνῃ τῆς ἡμῶν πτωχείας τὲ καὶ λύπης;
ἡ γὰρ ψυχὴ τῶν ἱκετῶν εἰς χοῦν ἐταπεινώθη,
εἰς γῆν δε πάλιν ἡ γαστὴρ τῶν δούλων ἐκολλήθη.
ἀνάστα καὶ βοήθησον ἡμῖν ὁ παντοκράτωρ
καὶ λύτρωσαι τῶν δυσχερῶν δοξάζων σου τὴν κλῆσιν.

Δόξα

## 18 – Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ

Τοὺς οὐρανοὺς κηρύττοντας οἶδα θεοῦ τὴν δόξαν,
λαλοῦν δε τὸ στερέωμα πρᾶξιν χειρῶν τῶν τούτου.
ῥῆσιν ἐρεύγεται λαμπρὰν ἡμέρα πρὸς ἡμέραν,
ἀναγγελεῖ δε τῇ νυκτὶ νὺξ τὴν ἐν πᾶσι γνῶσιν.
οὐ λαλιαί τινες εἰσί, ἀλλ’ οὐδὲ λόγοι πάλιν,
ὧν τὰς φωνὰς οὐκ ἀκουστὰς εὑρήσει τις τῇ κτίσει·
εἰς πᾶσαν ἐξελήλυθε τούτων τὴν γῆν ὁ φθόγγος,

**18** V (f. 121v) L (ff. 208rv) D (ff. 201v–202r)

**43.39–54** absunt initiales versuum D **43.42** τετάκαμεν] τετώκαμεν D **18 tit.** ψαλμὸς ιη´ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ add. LD **18.4** ἐν πᾶσι] in rubro V, om. LD

καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·
6 καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ,
ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ.
7 ἀπ’ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,
καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ.
8 ὁ νόμος τοῦ κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
ἡ μαρτυρία κυρίου πιστή, σοφίζουσα νήπια·
9 τὰ δικαιώματα κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν·
ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς·
10 ὁ φόβος κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος·
τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό,
11 ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν
καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.
12 καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά·
ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.
13 παραπτώματα τίς συνήσει;
ἐκ τῶν κρυφίων μου καθάρισόν με.
14 καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου·
ἐὰν μή μου κατακυριεύσωσιν, τότε ἄμωμος ἔσομαι
καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
15 καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου
καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διὰ παντός,
κύριε βοηθέ μου καὶ λυτρωτά μου.

## LXXXI – Ψαλμὸς τῷ Ἀσάφ

Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν,
ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ
2 Ἕως πότε κρίνετε ἀδικίαν
καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;
3 [διάψαλμα] κρίνατε ὀρφανῷ καὶ πτωχῷ,

**17: 7.3** τῆς θέρμης] $L^{d\prime}$ (etiam 267) : τὴν θέρμην Rahlfs **81: 1.3** διακρινεῖ] Bo Sa Sy necnon 267 : διακρίνει Rahlfs **81: 3.1** ὀρφανῷ καὶ πτωχῷ] R *L′* (etiam 267) A’’, *pupillo et egeno* La : ὀρφανὸν καὶ πτωχόν B, ergo Rahlfs

τὰ σφῶν δε ῥήματα πρὸς πᾶν τῆς οἰκουμένης πέρας.
ἔθετο δὲ τὸ σκήνωμα τὸ τούτου τῷ φωσφόρῳ,
αὐτός δ’ ἐκπορευόμενος ὡς ἐκ παστοῦ νυμφίος
ἀγαλλιάσεται δραμεῖν ὥσπερ ὁδόν τις γίγας,
ἀπ’ ἄκρου δὲ τῶν οὐρανῶν ὁ κατὰ τοῦτον δρόμος
καὶ τούτου τὸ κατάντημα μέχρι τῶν ἄλλων ἄκρων.
οὐδείς δ’ ἀποκρυβήσεται τῆς τούτου μεσημβρίας·
ὁ νόμος ἄμωμος θεοῦ καρδίας ἐπιστρέφων,
ἡ μαρτυρία δὲ πιστὴ σοφίζουσα καὶ βρέφη,
τὰ δικαιώματα θεοῦ τέρψις εἰσὶ καρδίας,
ἡ δ’ ἐντολὴ φωτίζουσα τὰς ὄψεις τὰς ἀδήλους·
ἁγνὸς ὁ φόβος τοῦ θεοῦ μένων εἰς τὸν αἰῶνα,
ἀληθινὰ τὰ κρίματα καὶ δεδικαιωμένα,
χρυσίου ποθεινότερα καὶ λίθου πολυτίμου,
κηρίου δὲ γλυκύτερα καὶ μέλιτος ἀκράτου.
καὶ γὰρ ὁ σός, ὡς ἐγχωρεῖ, ταῦτα φυλάσσει δοῦλος
τοῖς ταῦτα δὲ φυλάττουσιν ἀνταποδίδως χύδην.
τίς δὲ καὶ παραπτώματα συνήσει προσηκόντως;
σὺ μόνος με καθάρισον ἐκ τῶν ἐμῶν κρυφίων
καὶ φεῖσαι μου ῥυσάμενος ἀπὸ τῶν ἀλλοτρίων·
ἂν γὰρ μὴ κυριεύσωσιν, ἄμωμος ἔσομαί σοι
ἀπὸ μεγάλης καθαρὸς ὑπάρξας ἁμαρτίας.
ἔσονται δέ μοι σωστικοὶ τοῦ στόματος οἱ λόγοι,
ἡ δὲ φροντίς μου τῆς ψυχῆς πρόσθεν σου πάντα χρόνον,
ὦ βοηθὲ καὶ λυτρωτὰ καὶ σῶτερ μου παντάναξ.

## 81 – Ψαλμὸς τῷ Ἀσάφ

Εἰς τὴν θεῶν συναγωγὴν ἔστη θεὸς ὁ μέγας
θεοὺς δὲ τούτων μεταξὺ διακρινεῖ πανσόφως·
«μέχρι γοῦν τίνος κρίνετε λαλοῦντες ἀδικίαν
καὶ πρόσωπα λαμβάνετε πραττόντων ἁμαρτίαν;
κρίνατε δὴ τοῖς ὀρφανοῖς καὶ τοῖς πτωχοῖς ἐννόμως,

**81** V (ff. 121v–122r) L (ff. 208v–209r)

**18.12** κατὰ τοῦτον] κατατοῦτο L **18.17–19** D invertit versos 17, 18, 19 sed deinde corr. in marg. numeris α΄ β΄ γ΄ **81 tit.** συνέσεως τῷ Ἀσάφ· ὁ θεὸς ἔστη (sic) ἐν συναγωγῇ θεῶν L

ταπεινὸν καὶ πένητα δικαιώσατε·
4 ἐξέλεσθε πένητα καὶ πτωχόν,
ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε <αὐτόν>.
5 οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, / [2]ἐν σκότει διαπορεύονται·
σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς.
6 ἐγὼ εἶπα Θεοί ἐστε / [2]καὶ υἱοὶ ὑψίστου πάντες·
7 ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνῄσκετε
καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.
8 ἀνάστα, ὁ θεός, κρῖνον τὴν γῆν,
ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσιν τοῖς ἔθνεσιν.

## LXXXII – Ὠιδὴ ψαλμοῦ τῷ Ἀσάφ

2 Ὁ θεός, τίς ὁμοιωθήσεταί σοι;
μὴ σιγήσῃς μηδὲ καταπραΰνῃς, ὁ θεός·
3 ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, / [2]καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν,
4 ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην
καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου·
5 εἶπον Δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους,
καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.
6 ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό,
κατὰ σοῦ διαθήκην διέθεντο
7 τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται,
Μωὰβ καὶ οἱ Αγαρηνοί, / 8 Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ
καὶ ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον·
9 καὶ γὰρ καὶ Ἀσοὺρ συμπαρεγένετο μετ’ αὐτῶν,
ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.
10 [διάψαλμα] ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρα,
ὡς ὁ Ἰαβεὶμ ἐν τῷ χειμάρρῳ Κισσῶν·
11 ἐξωλεθρεύθησαν ἐν Ἀενδώρ,
ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ.
12 θοῦ τοὺς ἄρχοντας αὐτῶν ¦

**81: 4.2** αὐτόν add. *L’’* (etiam 267) 1219 **81: 5.1–2** unus stichus Sa$^{B}$ R′ Ga He A’ necnon 267 **81: 6.1–2** duo stichi Sa$^{L}$ T (ergo Rahlfs), sed unus rel. codd. **82: 5.1** εἶπον ] *L*$^{b}$T′He$^{c}$, εἶπαν Rahlfs ἐξολοθρεύσωμεν ] *L′* (etiam 267, non T) : ἐξολεθρεύσωμεν Rahlfs **82: 9.1** Ἀσούρ ] H.–P. necnon 267 : Ἀσσούρ Rahlfs **82: 9.2** ἀντίληψιν ] H.–P. necnon 267 : ἀντίλημψιν Rahlfs **82: 10.2** Ἰαβείμ ] 267 et vid. apparatum H.–P. : Ιαβιν Rahlfs Κισσῶν ] sic 267 : Κισων Rahlfs **82: 12.1–13.2** θοῦ … εἶπον ] similiter dividit 267, sed 13.1 οἵτινες εἶπον ad 12.2 non trahit : nulla mentio in apparatu Rahlfs, cum partitio in R’’ Ga He similis sit (sed ὡς τὸν Ωρηβ in primo sticho)

πένητα δικαιώσατε καὶ τεταπεινωμένον,
πένητα πάλιν καὶ πτωχὸν ἐξέλεσθε κακοῦντος,
ἐκ δὲ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε τοῦτον πάλιν»,
οὐκ ἔγνωσαν ὡς ἐν νυκτὶ πορεύονται καὶ σκότει.
ἅπαντα σαλευθήτωσαν τὰ βάθρα τῆς ἠπείρου
«ὑμᾶς» εἶπον ἐγὼ «θεοὺς πάντας ὑψίστου παῖδας,»
ὑμεῖς δ’ ὡς ἄνθρωποι θνητοὶ καὶ φαῦλοι τελευτᾶτε‖[122r]
καὶ τῶν ἀρχόντων τις ὡς εἷς πίπτετε παραυτίκα.
ἀνάστηθι περιφανῶς, κρῖνον τὴν γῆν, παντάναξ,
μόνος γὰρ σὺ τοῖς ἔθνεσι κατακληρονομήσεις.

## 82 – Ὠιδὴ ψαλμοῦ τῷ Ἀσάφ

Τίς, ὁ θεὸς τῶν τοῦ παντός, ὁμοιωθήσεταί σοι;
μή, μὴ σιγήσῃς δέσποτα, μὴ δὲ καταπραΰνῃς.
οἱ γὰρ ἐχθροὶ μισοῦντές σε τὴν κεφαλὴν ἐπῆραν
καὶ κατεπανουργεύσαντο τῶν ἱκετῶν σου γνώμῃ
καὶ κατὰ τῶν ἁγίων σου βεβούλευνται δολίως.
εἶπον γάρ· «δεῦτε φθείρωμεν πάντας αὐτοὺς ἐξ ἔθνους,
ἵνα μὴ πάλιν Ἰσραὴλ ὀνομαστὶ μνησθείῃ»,
ἐπείπερ ἐβουλεύσαντο σὺν ὁμονοίᾳ τοῦτο
καὶ κατὰ σοῦ διεθέντο τοῦ κτίστου διαθήκην·
τῶν Ἰουδαίων αἱ σκηναὶ σὺν τοῖς Ἰσμαυλίταις,
Μωάβ, Ἀμών, Ἀγαρηνοί, Γεβάλ, Ἀμαληκῖται,
ἀλλόφυλοι μετὰ παντὸς οἰκήτορος τῆς Τύρου,
ᾗ γὰρ ἐκείνων οὐδ’ Ἀσοὺρ ἀφεστηκὼς τοῦ πλήθους,
οὓς πρὸς ἀντίληψιν τοῦ Λὼτ ὑπῆρξαν τοῖς ἐκγόνοις.
ποίησον ὡς τῷ Μαδιὰμ καὶ τῷ Σισάρα τούτοις
καὶ μετ’ αὐτοὺς ὡς Ἰαβεὶμ ἐν τῷ Κισσῶν χειμάρρῳ
καὶ γὰρ ἐξωλοθρεύθησαν ἐν Ἀεδὼρ ἀθρόοι,
ὡς κόπρος δὲ γεγόνασι τοῖς δεξαμένοις τόποις.
δεῖξον αὐτῶν τοὺς ἄρχοντας, ὁ πανσθενὴς δεσπότης,

**82** V (f. 122r) L (ff. 209rv)

**81.11** θεούς] om. L **81.13** εἷς] εἶ L **82 tit.** ὁ θεὸς τίς ὁμοιωθήσεταί σοι· μὴν σιγήσεις add. L

[1]ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ / [2]καὶ Ζεβεὲ καὶ Σαλμανᾶ ¦
[2]πάντας τοὺς ἄρχοντας αὐτῶν, / 13 οἵτινες εἶπον ¦
[1]Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ.
14 ὁ θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν,
ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου·
15 ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν,
ὡσεὶ φλὸξ κατακαύσαι ὄρη,
16 οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου
καὶ ἐν τῇ ὀργῇ σου ταράξεις αὐτούς.
17 πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας,
καὶ ζητήσουσιν τὸ ὄνομά σου, κύριε.
18 αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος
καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν
19 καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος,
σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

## LXXXIII – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τοῖς υἱοῖς Κορὲ ψαλμός

2 Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, κύριε τῶν δυνάμεων.
3 ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου,
ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ θεὸν ζῶντα.
4 καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν
καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία αὐτῆς,
τὰ θυσιαστήριά σου, ¦
[3]κύριε τῶν δυνάμεων, / [4]ὁ βασιλεύς μου καὶ ὁ θεός μου.
5 μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου,
εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσίν σε.
6 [διάψαλμα] μακάριος ἀνήρ, οὗ ἐστιν ἡ ἀντίληψις αὐτοῦ παρὰ σοῦ, κύριε·
ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο
7 εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος εἰς <τὸν> τόπον, ὃν ἔθετο·
καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν.
8 πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν,
ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών.
9 κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου

---

**82: 13.1** εἶπον] *L′* (etiam 267, non He) : εἶπαν Rahlfs **82: 15.2** ὡσεί] H.–P. necnon 267, cfr. MPs. 82.25–26 ὡς … / καὶ φλόξ : ὡς εἰ Rahlfs **83: 6.1** ἀντίληψις] fort., ut in H.–P. et 267 : ἀντίλημψις Rahlfs **83: 7.1** εἰς τὴν κοιλάδα] Sa *L′* A′ : ἐν τῇ κοιλάδι B″ R″ GaHi 55, ergo Rahlfs τόν] add. *L′*

Ὠρεὶβ καὶ Ζεΐβ, καὶ Ζεβεὲ καὶ Σαλμανᾶ δευτέρους,
πάντας τοὺς ἄρχοντας αὐτῶν, οἵτινες εἶπον ἅμα·
«κληρονομήσωμεν ἡμεῖς τὸ τέμενος τὸ θεῖον.»
θοῦ τούτους ὥς τινα τροχὸν κινούμενον ἀστάτως,
καλάμην ὑπὸ λαίλαπος ἀναρριπιζομένην,
ὡς πῦρ τὸ φλέγον τοῦ δρυμοῦ τὴν ὕλην μετὰ βρόμου
καὶ φλὸξ ὀρέων καυστικὴ τῶν μόλις φλεγομένων,
οὕτως αὐτὸς τῇ τῆς ὀργῆς ἐκτρίψεις καταιγίδι
καὶ συνταράξεις ἐν θυμῷ καὶ φοβερᾷ δυνάμει.
πλήρωσον τούτων τὰς μορφάς, ὁ πλάστης, ἀτιμίας,
ἴσως ποτὲ ζητήσουσι τὴν κλῆσιν σου, παντάναξ.
πλὴν ἀλλὰ πληρωθήτωσαν αἰσχύνης αἰωνίου
καὶ θᾶττον ἐντραπήτωσαν συλλήβδην παρελθόντες
καὶ γνώτωσαν ὡς ὄνομα τὸ “κύριος” ἐστί σοι,
σὺ μόνος ὕψιστος θεὸς πάσης τῆς γῆς δεσπότης.

### 83 – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· τοῖς υἱοῖς Κορέ

Ὡς ποθεινά, παμβασιλεῦ, καὶ τὰ σκηνώματά σου.
ἡ γὰρ ψυχή μου κέχηνεν εἰς τὰς αὐλὰς κυρίου,
ἐτέρφθην δὲ τὴν σάρκα μου καὶ τὴν καρδίαν τούτῳ.
καὶ γὰρ στρουθίον ἑαυτῷ καταγωγὴν εὑρίσκει,
τρυγών δε πάλιν νοσσιάν, οὗ θήσει τὰ νοσσία,
ἐγώ δε τὸ κατάπαυμα τῶν θυσιαστηρίων,
κύριε τῶν δυνάμεων, ὁ κτίστης καὶ θεός μου.
μακαριστοί γαρ οἱ τῆς σῆς οἰκήτορες ἑστίας,
αἰνέσουσιν εἰς πάντας σε τοὺς ἐφεξῆς αἰῶνας,
μάκαρ ἀνήρ, οὗπερ αὐτὸς ἀντιλαμβάνῃ, σῶτερ,
ἐν τῇ καρδίᾳ τέθεικεν ἀρρήτους ἀναβάσεις
εἰς τὴν κοιλάδα τοῦ κλαυθμοῦ καὶ τὸν τῶν θρήνων τόπον,
ὁ δὲ σοφῶς νομοθετῶν τὰ τέρποντα πηγάσει,
πορεύσονται πρὸς δύναμιν ἐξ οὐ μικρᾶς ἰσχύος.
ὁ δὲ θεὸς ὁ τῶν θεῶν ἐν τῇ Σιὼν φανεῖται,
κύριε τῶν δυνάμεων, τῆς προσευχῆς μου σύνες,

**83** V (ff. 122rv) L (ff. 209v–210v)

**83 tit.** εἰς τὸ τέλος τοῖς υἱοῖς Κορέ· ὡς ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνάμεων L **83.12** θρήνων] θρῆνων L

ἐνώτισαι, ὁ θεὸς Ἰακώβ.
10 [διάψαλμα] ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ θεός,
καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου.
11 ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας·
ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ <μου> / $^{3}$μᾶλλον ¦
$^{3}$ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν.
12 ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ κύριος ¦
$^{1}$ὁ θεός / $^{2}$χάριν καὶ δόξαν δώσει·
κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ.
13 κύριε τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.

## LXXXIV – Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός

2 Εὐδόκησας, κύριε, τὴν γῆν σου,
ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ·
3 ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου,
ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.
4 [διάψαλμα] κατέπαυσας πᾶσαν τὴν ὀργήν σου,
ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου.
5 ἐπίστρεψον ἡμᾶς, ὁ θεὸς τῶν σωτηρίων ἡμῶν,
καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ’ ἡμῶν.
6 μὴ εἰς τὸν αἰῶνα ὀργισθήσῃ ἡμῖν
ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν;
7 ὁ θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς,
καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.
8 δεῖξον ἡμῖν, κύριε, τὸ ἔλεός σου
καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.
9 ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός,
ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ
καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ
καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας πρὸς αὐτὸν καρδίαν.
10 πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ
τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.

---

**83: 10.1** ἴδε] H.–P. et 267 : ἰδέ Rahlfs **83: 10.2** ἐπί] *L′* (etiam 267, nonSyHe) 1219 obtestantur εἰς **83: 11.1** μου] add. Ga *L*Tht$^{p}$’ (etiam 267) A’, sed cfr. distributionem MPs. 83.21 **83: 11.3** μᾶλλον] ad 11.2 trahunt S La$^{G}$ TSyHe A’’ necnon 267 **83: 12.1** ἔλεον] ἔλεος *L′* (etiam 267, non THe*) ὁ θεός] ad 12.2 trahunt S necnon 267 **83: 9.4** πρὸς αὐτὸν καρδίαν] καρδίαν ἐπ’ αὐτόν *L’’* (etiam 267) : καρδίαν πρὸς αὐτόν 1219

ἐνώτισαι, τῶν Ἰακὼβ ταγμάτων ὁ δεσπότης,
ἴδε προκύψας, ὁ θεὸς ὑπερασπίζων μόνος, ‖[122v]
καὶ τὴν μορφὴν ἐπίβλεψον εὐσπλάγχνως τοῦ χριστοῦ σου.
ἡμέρα γὰρ ἡ μετὰ σοῦ κρείσσων ἀπείρων μία,
μᾶλλον εἱλόμην τοῦ θεοῦ ῥιπτεῖσθαι μου τῇ στέγῃ,
ἢ κατοικεῖν ἐν ταῖς σκηναῖς τῶν ἠλλοτριωμένων·
οὗτος γὰρ οἶκτον ἀγαπᾷ μετὰ τῆς ἀληθείας,
χάριν καὶ δόξαν ὡς θεὸς τοῖς φοβουμένοις δώσει,
ὅς οὐ στερήσει τῶν καλῶν τοὺς τὴν ψυχὴν ἀκάκους·
κύριε τῶν δυνάμεων, ὁ πεποιθώς σοι μάκαρ.

## 84 – Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψάλμος

Εὐδόκησας ὡς εὔσπλαγχνος τὴν γῆν σου, παντοκράτορ,
ἀπέστρεψας τὴν Ἰακὼβ πᾶσαν αἰχμαλωσίαν,
ἀφῆκας δέ σου τῷ λαῷ τὰς πράξεις τὰς ἀνόμους
καὶ πάσας κατεκάλυψας τὰς τούτων ἁμαρτίας,
κατέπαυσάς σου τὴν ὀργήν, ἣν ἐπ' αὐτοὺς ἠπείλεις,
ἐκ τῆς ὀργῆς ἀπέστρεψας τοῦ φοβεροῦ θύμου σου.
οὐκοῦν ἐπίστρεψον ἡμᾶς, ὁ σώζων φιλανθρώπως
καὶ τὸν θυμὸν ἀπόστρεψον τὸν καθ' ἡμῶν ἀκμαῖον.
μὴ γὰρ ἡμῖν τοῖς ταπεινοῖς εἰς τέλος ὀργισθήσῃ,
μὴ δ' ἐκτενεῖς σου τὸν θυμὸν εἰς γένος ἀπὸ γένους;
σὺ μόνος, ἅπαντας ἡμᾶς ζωώσεις ἐπιστρέψας,
ὁ δὲ λαὸς ἐπὶ τῇ σῇ τερφθήσεται δυνάμει.
δεῖξον ἡμῖν τοὺς οἰκτιρμοὺς καὶ τὴν χρηστότητά σου
καὶ δός σου τὸ σωτήριον τοῖς τεταπεινωμένοις.
ἀκούσομαι τί φθέγξεται κύριος ὁ θεός μοι·
λαλήσει γὰρ εἰς τὸν λαὸν εἰρήνην τὸν οἰκεῖον
καὶ φθέγξεται πρὸς τοὺς αὐτὸν εὐφραίνοντας ὁσίους
καὶ πρὸς τοὺς ἐπιστρέφοντας εἰς τοῦτον τὴν καρδίαν,
πλὴν ἄχρονον τὸ σώζεσθαι τοῖς τοῦτον φοβουμένοις
ὥστε τῇ γῇ τῇ καθ' ἡμᾶς δόξαν κατασκηνῶσαι.

---

**84** V (f. 122v) L (ff. 210v–211r)

---

**83.20** σοῦ ] σοὺ V **84 tit.** εὐδόκησας κύριε τὴν γῆν σου add. L

11 ἔλεος καὶ ἀλήθεια συνήντησαν,
δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν·
12 ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν, / [2]καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.
13 καὶ γὰρ ὁ κύριος δώσει χρηστότητα, / [2]καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς·
14 δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται
καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

## LXXXV – Προσευχὴ τῷ Δαυίδ

Κλῖνον, κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου,
ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.
2 φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι·
σῶσον τὸν δοῦλόν σου, ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ.
3 ἐλέησόν με, [κύριε], ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν.
4 εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου,
ὅτι πρὸς σέ, κύριε, ἦρα τὴν ψυχήν μου.
5 ὅτι σύ, κύριε, χρηστὸς καὶ ἐπιεικὴς / [2]καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.
6 ἐνώτισαι, κύριε, τὴν προσευχήν μου / [2]καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.
7 ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ, ὅτι εἰσήκουσάς μου.
8 οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε,
καὶ οὐκ ἔστιν κατὰ τὰ ἔργα σου.
9 πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσιν / [2]καὶ προσκυνήσουσιν ἐνώπιόν σου, κύριε,
καὶ δοξάσουσιν τὸ ὄνομά σου, / 10 ὅτι μέγας εἶ σύ. ¦
[1]καὶ ποιῶν θαυμάσια, / [2]σὺ εἶ ὁ θεὸς μόνος ὁ μέγας.
11 ὁδήγησόν με, κύριε, τῇ ὁδῷ σου,
καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου·
εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.
12 ἐξομολογήσομαί σοι, κύριε ὁ θεός μου, ἐν ὅλῃ καρδίᾳ μου
καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα,
13 ὅτι τὸ ἔλεός σου μέγα ἐπ’ ἐμὲ
καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.
14 ὁ θεός, παράνομοι ἐπανέστησαν ἐπ’ ἐμέ,
καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου

---

**83: 14.1** ἐναντίον αὐτοῦ] ἐνώπιον αὐτοῦ *L′* (etiam 267) A’ **85: 3.1** κύριε] om. plurimi codd. (vid. apparatum H.–P.) necnon 267 **85: 9.1–2** unus stichus S Sa R′ T **85: 9.3–10.2** sic dividunt T A, ὅτι μέγας εἶ σύ stichus singularis in 267

ἔλεος δὲ συνήντησεν ἐξ ὕψους ἀληθείᾳ,
εἰρήνη κατεφίλησαν μετὰ δικαιοσύνης,
ἐκ γῆς ἀνέσχε τἀληθές, ἡ θέμις οὐρανόθεν.
κύριος δώσει τὰ χρηστά, γῆ δε καρποὺς ἐκφύσει,
πρόσθεν αὐτοῦ τῶν ὀφθαλμῶν ἡ θέμις βαδιεῖται,
εἰς τρίβον δέ τινα καινὴν θήσει τὰς τούτων βάσεις.

## 85 – Προσευχὴ τῷ Δαυίδ

Ἐπάκουσόν μου, κύριε, τὴν ἀκοήν σου κλίνας·
εἰμί γαρ πένης καὶ πτωχὸς ἐν συμφοραῖς ἐσχάταις.
φύλαξον δέ μου τὴν ψυχήν, ὅσιος γὰρ εἰμί σοι
καὶ σῶσον με τὸν δοῦλον σου τὸν ἐπελπίζοντά σοι,
ὅτι πρὸς σὲ κεκράξομαι καθ’ ὅλην τὴν ἡμέραν,
εὔφρανον δὴ τὴν σκυθρωπὴν τοῦ δούλου σου καρδίαν,
πρὸς σέ γαρ μόνον τὴν ψυχὴν τὸν εὐεργέτην ἦρα.
σὺ γὰρ χρηστὸς καὶ προσηνής, οἰκτῖρμον τοῖς ἱκέταις,
ἐνώτισαί μου τὴν εὐχὴν καὶ πρόσχες τῇ φωνῇ μου
καὶ γὰρ ἐκέκραξα πρὸς σὲ θλίψεως ἐν ἡμέρᾳ.
σοὶ τίς θεὸς παρεμφερὴς οὐκ ἔστι, παντοκράτορ,
οὐδ’ ἴσος τοῖς πανσοφοῖς σου καὶ θαυμαστοῖς πρακτέοις.
ἥξει τὸ σμῆνος τῶν ἐθνῶν καὶ προσκυνήσουσί σε,
τὴν κλῆσιν σου δοξάζοντα, σὺ γὰρ ὑπάρχεις μέγας
καὶ θαυμασίων φοβερῶν μόνος θεὸς ἐργάτης.
ὁδήγησόν με, κύριε, τῇ μυστικῇ σου τρίβῳ
κἀγὼ πορεύσομαι τῇ σῇ προθύμος ἀληθείᾳ.
ἡ δὲ ψυχὴ τερφθήτω μου φοβεῖσθαι σου τὴν κλῆσιν. ‖123r
ἐν ὅλῃ τῇ καρδίᾳ μου κροτήσω σε, παντάναξ,
τοὔνομα δὲ δοξάσω σου μέχρι παντὸς αἰῶνος,
ἐπείπερ μέγαν ἐπ’ ἐμὲ τὸν οἰκτιρμὸν ἀφῆκας,
ἐρρύσω δέ μου τὴν ψυχὴν ἐξ ᾅδου κατωτάτου.
ἐπαναστάντες ἐπ’ ἐμὲ παράνομοι λυποῦσι
καὶ κραταιῶν συναγωγὴ ζητοῦσι τὴν ψυχήν μου,

**85** V (ff. 122v–123r) L (ff. 211rv)

inter MPs. 84 – 85 δόξα et κάθισμα ιβʹ non praebet V **85 tit.** κλῖνον κύριε τὸ οὖς σου καὶ ἐπάκουσον μου add. L **85.11** σοὶ … θεός] in marg. correxit, in textu praebet σοὶ τοῖς θεοῖς V

καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν.
15 καὶ σύ, κύριε ὁ θεός, οἰκτίρμων καὶ ἐλεήμων,
μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.
16 ἐπίβλεψον ἐπ’ ἐμὲ καὶ ἐλέησόν με,
δὸς τὸ κράτος σου τῷ παιδί σου
καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.
17 ποίησον μετ’ ἐμοῦ σημεῖον εἰς ἀγαθόν,
καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν,
ὅτι σύ, κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

**LXXXVI – Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς**

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσιν τοῖς ἁγίοις·
2 ἀγαπᾷ κύριος τὰς πύλας Σιὼν
ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
3 δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ.
4 [διάψαλμα] μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσίν με·
καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων,
οὗτοι ἐγενήθησαν ἐκεῖ.
5 Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος,
καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ,
καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος.
6 κύριος διηγήσεται ἐν γραφῇ λαῶν
καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ.
7 [διάψαλμα] ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

**XLIV – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ**

2 Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν,
λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ,
ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

ἐνώπιον γὰρ ἑαυτῶν οἶδ’ οὐ προέθεντό σε.
σύ δε, θεός μου κύριος, οἰκτίρμων, ἐλεήμων,
ἀληθινός, μακρόθυμος, τοὺς οἰκτιρμοὺς ἐκχέων,
ἐπίβλεψόν με τοιγαροῦν καὶ σῶσον φιλανθρώπως,
δός σου τὸ κράτος εὐμενῶς, ὁ ῥύστης, τῷ παιδί σου
καὶ σῶσον τῆς παιδίσκης σου τὸν πεφιλμένον τόκον.
εἰς ἀγαθόν τι ποίησον νῦν μετ’ ἐμοῦ σημεῖον,
ἰδόντες δ’ οἱ μισοῦντες με λαβέτωσαν αἰσχύνην,
σὺ γάρ μοι βεβοήθηκας καὶ παρεκάλεσάς με.

## 86 – Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς

Ἐν τοῖς ἁγίοις ὄρεσι τὰ βάθρα τοῦ δεσπότου.
Σιὼν τὰς πύλας ἀγαπᾷ κύριος παντοκράτωρ,
ὑπὲρ σκηνὰς τὰς Ἰακὼβ τὰς ἐκλεκτὰς ἁπάσας.
δεδοξασμένα περὶ σοῦ, πόλις θεοῦ, λαλεῖται·
μνησθήσομαι τοῖς γνοῦσι με Ῥαὰβ καὶ Βαβυλῶνος,
ἰδοὺ λαὸς ἀλλόφυλος Αἰθίοπες καὶ Τύρος,
ὅσοιπερ ἐγεννήθησαν ἐκεῖσε καταμέρος·
ἄνθρωπος φθέγξεται· «Σιὼν ἡ τρισολβία μήτηρ,
ἄνθρωπος δὲ γεγέννηται τῇδε τῇ ξένῃ πόλει.
αὐτός γαρ ταυτὴν ἥδρασεν, ὕψιστος ὢν παντάναξ»
κύριος διηγήσεται ταῖς κύρβεσι τῶν δήμων
καὶ τῶν ἀρχόντων ἐν αὐτῇ τῶν ἔτι γινομένων,
ἡ κατοικία γὰρ ἐν σοὶ τῶν πανηγυριζόντων.

## 44 – Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ

Λόγον ἠρεύξατο χρηστὸν ἡ κατ’ ἐμὲ καρδία,
ἐγώ φημι τὰς πράξεις μου τῷ παντοκράτορί μου,
ἡ γλῶσσα μου γραμματιστοῦ κάλαμος ὀξυγράφου.

---

**86** V (ff. 123r) L (ff. 211v–212r) **44** V (ff. 123rv) L (ff. 212rv) D (f. 208v)

---

**86 tit.** εἰς τὸ τέλος τοῖς υἱοῖς Κορέ· οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι L **44 tit.** ἐξηρεύξατο ἡ καρδία μου λόγον add. L : ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν D

3 ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
ἐξεχύθη χάρις ἐν χείλεσίν σου·
διὰ τοῦτο εὐλόγησέν σε ὁ θεὸς εἰς τὸν αἰῶνα.
4 περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ,
τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου
5 καὶ ἔντειναι καὶ κατευοδοῦ καὶ βασίλευε
ἕνεκεν ἀληθείας καὶ πραότητης καὶ δικαιοσύνης,
καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.
6 τὰ βέλη σου ἠκονημένα, δυνατέ,
λαοὶ ὑποκάτω σου πεσοῦνται
ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως.
7 ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.
8 ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν·
διὰ τοῦτο ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου
ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.
9 σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου
ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε.
10 θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου·
παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ¦
$^{2}$ἐν ἱματισμῷ διαχρύσῳ / $^{3}$περιβεβλημένη πεποικιλμένη.
11 ἄκουσον, θύγατερ, καὶ ἰδὲ καὶ κλῖνον τὸ οὖς σου
καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου,
12 καὶ ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου,
ὅτι αὐτός ἐστιν ὁ κύριός σου. / 13 καὶ προσκυνήσεις αὐτῷ ¦
$^{1}$θυγατέρες Τύρου ἐν δώροις,
τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.
14 πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως ἔσωθεν
ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη.
15 ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς,
αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·
16 ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει,
ἀχθήσονται εἰς ναὸν βασιλέως.
17 ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν υἱοί σου·

---

**44: 5.1** ἔντειναι] $L^{d}$Tht$^{p}$ (etiam 267) : ἔντεινον Rahlfs **44: 5.2** πραότητης] $L^{a\prime}$ (etiam 267) : πραΰτητος Rahlfs **44: 10.2** ἐν ἱματισμῷ διαχρύσῳ] ad 10.3 trahunt Ga TSyHe A’’ necnon 267 : ad 10.2 B′ 2013 La$^{G}$, ergo Rahlfs **44: 12.1** καί] *L*’’ Tht (etiam 267) A’’ : ὅτι B’’ 2013’ R’’, ergo Rahlfs **44: 12.2–13.1** καί … αὐτῷ] ad 12.1 trahunt S Ga TSy necnon 267 **44: 13.1** προσκυνήσεις] *L* (etiam 267) 1219 : προσκυνήσουσιν B’’ 2013’ R’’ Ga Tht’HeThCh A’ **44: 17.1** υἱοί σου] *L*′ (etiam 267, non Sy) 1219 : σοι υἱοί Rahlfs

ὡραῖος κάλλει παρ’ αὐτοὺς τοὺς τῶν ἀνθρώπων τόκους,
χάρις ἐν χείλεσι τοῖς σοῖς ἀφθόνως ἐξεχύθη
καὶ διατοῦτο σε θεὸς ηὐλόγησεν εἰς τέλος.
περίζωσαί σου τὸν μηρόν, ὦ δυνατέ, ῥομφαίᾳ
καὶ τῷ τῆς σῆς φαιδρότητος ἀνυπερβλήτῳ κάλλει,
ἔντειναι δέ, κατευοδοῦ, βασίλευε καὶ κράτει
τῆς ἀληθείας ἕνεκα, τοῦ πράου, τοῦ δικαίου
καὶ θαυμαστῶς σε τῆς χειρὸς τὸ κράτος ὁδηγήσει.
ἠκονημένα, δυνατέ, τὰ βέλη σου τυγχάνει,
– ὑπὸ τοὺς πόδας σου λαοὶ πεσοῦνται παραυτίκα –
ἐν τῇ καρδίᾳ τῶν ἐχθρῶν τοῦ βεβασιλευκότος.
εἰς τοὺς αἰῶνας ἀληθῶς ὁ θρόνος σου, παντάναξ,
ῥάβδος ἐστὶν εὐθύτητος ἡ ῥάβδος τῆς ἀρχῆς σου.
δικαιοσύνην ἀγαπᾷς μισήσας ἀνομίαν·
κἀντεῦθεν ὁ δεσπότης σου καὶ χορηγὸς τοῦ κράτους
ἐλαίῳ σε χρηστότητος πρὸ τῶν συγγόνων χρίει.
ἀπὸ τῆς σῆς περιβολῆς σμύρνα, στακτή, κασία,
ἐλεφαντίνων βάρεων ἐτέρφθης εὐκοσμίᾳ.
ἐν τῇ τιμῇ τῇ κατὰ σὲ κρατούντων θυγατέρες,
ἐκ δεξιῶν ἡ βασιλὶς παρέστη σοι τοῦ θρόνου
ποικίλον καὶ διάχρυσον ἠμφιεσμένη κόσμον.
ἄκουσον, βλέψον, θύγατερ, οὖς δε τοῖς λόγοις κλῖνον,
λάβε σου λήθην τοῦ λαοῦ καὶ τοῦ πατρῴου δόμου ‖[123v]
καὶ σοῦ τοῦ κάλλους ὁ κρατῶν ἐπιθυμήσει μόνου,
ὅτι σου κύριος ἐστὶ καὶ προσκυνήσεις τούτῳ.
ἐν δώροις δὲ παντοδαποῖς Τύρου σεμνὴ θυγάτηρ,
σὴν ὄψιν λιτανεύσουσιν ὅσοι κομῶσι πλούτῳ.
τῆς τοῦ κρατοῦντος θυγατρὸς ἔσωθεν πᾶν τὸ κλέος
ἐν κροσσωτοῖς ἀπὸ χρυσοῦ καταπεποικιλμένης.
κατόπιν ταύτης ἤξουσι τῷ βασιλεῖ παρθένοι
καὶ ταύτης ὅσαι γείτονες ἀπενεχθήσονταί σοι,
ἀπενεχθήσονται ψυχῆς εὐφραινομένης δρόμῳ,
ἀχθήσονται πρὸς τὸν ναὸν τοῦ πάντων βασιλέως.
ἀντὶ τῶν γεννητόρων σου τὰ τέκνα σου γεννᾶται,

**44.25** τοῖς λόγοις] τοὺς λόγους D **44.30** σήν] τήν LD **44.32** καταπεποικιλμένης] καταπεποικιλμένοις D

καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.
18 μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ·
διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

### XLV – Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων ψαλμός

2 Ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις,
βοηθὸς ἐν θλίψεσιν ταῖς εὑρούσαις ἡμᾶς σφόδρα.
3 διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν
καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.
4 ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν,
ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.
5 [διάψαλμα] τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσιν τὴν πόλιν τοῦ θεοῦ·
ἡγίασεν τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος.
6 ὁ θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται·
βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωί.
7 ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι·
ἔδωκεν φωνὴν αὐτοῦ <ὁ ὕψιστος>, ἐσαλεύθη ἡ γῆ.
8 κύριος τῶν δυνάμεων μεθ’ ἡμῶν,
ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.
9 [διάψαλμα] δεῦτε καὶ ἴδετε τὰ ἔργα κυρίου,
ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς.
10 ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς
τόξον συντρίψει καὶ συνθλάσει ὅπλον
καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.
11 σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός·
ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.
12 κύριος τῶν δυνάμεων μεθ’ ἡμῶν,
ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ.

**45: 7.2** ὁ ὕψιστος] add. R″1098$^{mg}$ *L*″ (etiam 267) A″ **45: 8.2** ἀντιλήπτωρ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs **45: 9.1** καί] add. R′-Aug 1098-Vulg *L*″ (etiam 267) A″ **45: 10.1** συνθλάσει] *L*′ (etiam 267) 55 : συγκλάσει B′ 2013 R 1098, ergo Rahlfs **45: 12.2** ἀντιλήπτωρ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs

οὓς καταστήσεις ἄρχοντας τῆς ὑπὸ τὸν φωσφόρον.
εἰς γενεὰν καὶ γενεὰν ἐπιμνησθήσομαί σου
καὶ τούτου χάριν οἱ λαοὶ πάντες δοξάσουσί σε,
εἰς τὸν αἰῶνα τοῦ παντὸς τὸν παντουργὸν αἰῶνος.

### 45 – Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ ὑπὲρ τῶν κρυφίων· ψαλμός

Καταφυγὴ καὶ δύναμις πάντων ἡμῶν ὁ κτίστης
καὶ βοηθὸς ἐν θλίψεσι ταῖς σφόδρα κατασχούσαις·
οὐκοῦν ἐν τῷ ταράττεσθαι τὴν γῆν ὑπομενοῦμεν
καὶ μετατίθεσθαι βουνοὺς ἐκ θαλασσῶν καρδίαις.
ἤχησαν τούτων ἀκρατῶς αἱ χύσεις ταραχθεῖσαι,
ὄρος δὲ πᾶν τετάρακται τῇ κατ’ αὐτὸν ἰσχύι.
τὰ ῥεύματα τοῦ ποταμοῦ τέρπει θεοῦ τὴν πόλιν,
ἡγίασε τὸ σκήνωμα τὸ κατ’ αὐτὸν ὁ πλάστης,
ἐν μέσῳ ταύτης ὁ θεὸς ὡς μὴ σαλευομένης·
ἔσται δὲ ταύτης ἀρωγὸς ὀρθρίζων ὁ δεσπότης.
πέπονθεν ἔθνη ταραχήν, ἔκλιναν βασιλεῖαι,
φωνήσαντος τοῦ κτίσαντος ὁ κόσμος συνεστάλη.
κύριος τῶν δυνάμεων ὁ μεθ’ ἡμῶν δεσπότης,
θεὸς ὁ μέγας Ἰακὼβ καὶ μόνος ἀντιλήπτωρ.
δεῦτε καὶ βλέψατε τρανῶς τὰ τοῦ θεοῦ πρακτέα
καὶ τὴν καινὴν παραγωγὴν τῶν ἐπὶ γῆς τεράτων.
ἀνταναιρεῖ γὰρ συμπλοκὰς μέχρι τῆς γῆς ἁπάσης,
τόξον συντρίψει σθεναρόν, ὅπλον δὲ πᾶν συνθλάσει
καὶ κατακαύσει θυρεοὺς τῇ τοῦ πυρὸς ἰσχύι.
«μάθετε δὴ σχολάσαντες ὡς ὁ θεὸς τυγχάνω·
ἀρθήσομαι τοῖς ἔθνησιν, ἀρθήσομαι τῷ κτίσει.»
κύριος τῶν δυνάμεων ὁ μεθ’ ἡμῶν δεσπότης,
θεὸς ὁ μέγας Ἰακὼβ καὶ μόνος ἀντιλήπτωρ.

Δόξα. Κάθισμα ϛʹ

**45** V (f. 123v) L (ff. 212v–213r) D (ff. 208v–209r)

**45 tit.** ἐξηρεύξατο ἡ καρδία μου λόγον add. L : ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν D

### XLVI (2) – Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορὲ ψαλμός

2 Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας,
ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως,
3 ὅτι κύριος ὕψιστος φοβερός,
βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
4 ὑπέταξεν λαοὺς ἡμῖν / $^{2}$καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν·
5 ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ,
τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν.
6 [διάψαλμα] ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, / $^{2}$κύριος ἐν φωνῇ σάλπιγγος.
7 ψάλατε τῷ θεῷ ἡμῶν, ψάλατε,
ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε,
8 ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ θεός, / $^{2}$ψάλατε συνετῶς.
9 ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη,
ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ.
10 ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ Ἀβραάμ,
ὅτι τοῦ θεοῦ οἱ κραταιοὶ τῆς γῆς, σφόδρα ἐπήρθησαν.

### XLVII (2) – Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορέ· δευτέρᾳ σαββάτου

2 Μέγας κύριος καὶ αἰνετὸς σφόδρα
ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ,
3 εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς.
ὄρη Σιών, τὰ πλευρὰ τοῦ βορρᾶ,
ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου,
4 ὁ θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται,
ὅταν ἀντιλαμβάνηται αὐτῆς.
5 ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν,
διήλθοσαν ἐπὶ τὸ αὐτό·
6 αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν,
ἐταράχθησαν, ἐσαλεύθησαν, / 7 τρόμος ἐπελάβετο αὐτῶν,
ἐκεῖ ὠδῖνες ὡς τικτούσης.

---

**46 (2): 4.1–2** unus stichus B 2013’ R′ TSy A′ necnon 267 **46 (2): 5.1** ἑαυτοῦ] S R $L^{d}$T (etiam 267) A′ : αὐτοῦ B 2013, ergo Rahlfs **46 (2): 6.1–2** unus stichus in S 2013-Sa$^{B}$ R′ ut in MPs. 46 II.9, sed duo in MPs. 46 I.8–9 **46 (2): 8.1–2** sic dividunt Sa$^{B}$ R′ THe necnon 267 **47 (2): 3.1** εὐρίζῳ] 267 et alii codd., vid. apparatum H.–P. et Rahlfs : $L^{d}$B$^{c}$He$^{c}$ **47 (2): 5.2** διήλθοσαν] S R *L*’’ (etiam 267) 1219 : ἤλθοσαν B A’, ergo Rahlfs **47 (2): 6.2–7.1** unus stichus in B′ La$^{G}$ TSyHe A’ necnon 267

**46 II – Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν Κορέ· ψαλμός**

Πάντα τὰ φῦλα τῶν ἐθνῶν, κροτήσατε τὰς χεῖρας,
δότε θεῷ μετὰ φωνῆς ἀλαλαγμὸν τερπούσης·
ὕψιστος γὰρ ὁ κύριος καὶ φοβερὸς τὴν φύσιν.
ὁ μέγας ὄντως βασιλεὺς ἁπάσης τῆς ἠπείρου,
λαοὺς ἡμῖν ὑπέταξεν ἔθνη τιθεὶς εἰς πόδας.
κλῆρον ἡμῖν τὸν καθ' αὑτὸν ἔσχεν ἐξειλεγμένον,
ὡς Ἰακὼβ τὴν καλλονήν, ἣν ἀγαπῶν εὑρέθη.
θεὸς ἀνέβη μετ' ᾠδῆς καὶ σάλπιγγος ἠχούσης.
ψάλατε δὴ τῷ πλαστουργῷ, ψάλατε δὴ τῷ κτίστῃ,
ψάλατε δὴ τῷ βασιλεῖ, ψάλατε καὶ δεσπότῃ,
ὅτι θεὸς παμβασιλεύς, ψάλατε δὴ συνέσει.
παντός δε βεβασίλευκεν ἔθνους ὁ κτίστης μόνος,
ἐν θρόνῳ κάθηται θεὸς τῷ κατ' αὐτὸν ἁγίῳ.
μετὰ θεοῦ γὰρ Ἀβραὰμ συνῆλθον ἡγεμόνες·
πᾶς τοῦ θεοῦ δε κραταιὸς σφόδρα τῆς γῆς ἐπήρθη.

**47 II – Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ σαββάτου** ‖124r

Μέγας ἐστὶν ὁ κύριος καὶ θαυμαστὸς ἐκτόπως
ἔν τε τῇ πόλει τοῦ θεοῦ καὶ τῷ τῆς δόξης λόφῳ
ὡς ἐν ἀγαλλιάματι πάσης τῆς γῆς εὐροίζῳ.
ὄρη Σιὼν τὰ τοῦ βορρᾶ ταῦτα πλευρὰ τυγχάνει
καθάπερ ἡ τοῦ μείζονος τῶν βασιλέων πόλις.
θεὸς ταῖς βάρεσιν αὐτῆς γινώσκεται κρειττόνως,
ὅταν ἀντιλαμβάνηται καὶ σώζῃ τῶν κινδύνων·
καὶ γὰρ τῆς γῆς οἱ βασιλεῖς συνήχθησαν ἀθρόοι
ὡς ὑφ' ἑνὶ βουλήματι καθάπαξ ἠθροισμένοι.
οἳ δὴ καὶ τεθαυμάκασιν οὕτως ἰδόντες τάδε·
τρόμος δὲ τούτους κατασχὼν ἐτάραξεν εὐθέως
ὥστε κἀν τούτοις γίνεσθαι τὰς τῆς λεχοῦς ὠδῖνας.

---

**46 II** V (f. 123v) L (ff. 213rv) D (f. 209r) **47 II** V (f. 123v–124r) L (f. 213v–214r) D (f. 209rv)

---

**46 II tit.** πάντα τὰ ἔθνη κροτήσατε χεῖρας add. LD : ψαλμὸς μς´ ὅμοιος τοῦ, ἡ πανσπερμία τῶν ἐθνῶν add. L **46 II.15** ἐπήρθη] ὑψώθη in textu, in marg. γρ. ἐπήρθη V **47 II tit.** μέγας κύριος καὶ αἰνετὸς σφόδρα add. LD : Mi.Ps. *Poem.* 1.121–127 et 220–235 (ed. Westerink) in marg. inf. f. 209v D (vid. app. 1)

8 ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς.
9 καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν
ἐν πόλει κυρίου τῶν δυνάμεων, / [3]ἐν πόλει τοῦ θεοῦ ἡμῶν·
ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.
10 [διάψαλμα] ὑπελάβομεν, ὁ θεός, τὸ ἔλεός σου / [2]ἐν μέσῳ τοῦ λαοῦ σου.
11 κατὰ τὸ ὄνομά σου, ὁ θεός, / [2]οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς·
δικαιοσύνης πλήρης ἡ δεξιά σου.
12 εὐφρανθήτω τὸ ὄρος Σιών,
ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας
ἕνεκεν τῶν κριμάτων σου, κύριε.
13 κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν,
διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς,
14 θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς
καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς,
ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.
15 ὅτι οὗτός ἐστιν ὁ θεὸς ὁ θεὸς ἡμῶν / [2]εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·
αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

## XLVIII – Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός

2 Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη,
ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην,
3 οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων,
ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.
4 τὸ στόμα μου λαλήσει σοφίαν
καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν·
5 κλινῶ εἰς παραβολὴν τὸ οὖς μου,
ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.
6 ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;
ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.
7 οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν
καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι,
8 ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;

**47 (2): 8.1** Θαρσεῖς] om. nonnulli codd. (vid. apparatum H.–P.) necnon 267 : Θαρσίς H.–P. et Rahlfs **47 (2): 10.1–2** duo stichi Ga (ergo Rahlfs), sed unus rel. codd. **47 (2): 10.2** λαοῦ] plerique codd. (etiam 267), vid. apparatum H.–P. : ναοῦ GaHi et alii, ergo Rahlfs **47 (2): 11.1–2** unus stichus B′ 2013’ La$^{G}$ SyHe A’’ necnon 267 **47 (2): 15.1–2** unus stichus S Sa A′

εἰς τοὺς Θαρσεῖς δε λαίλαπι συντρίψεις τὰς ὁλκάδας.
ὥσπερ ἠκούσαμεν ἡμεῖς, οὕτως ἐσμὲν ἰδόντες
ἐν πόλει τοῦ παντάνακτος, ἐν πόλει τοῦ δεσπότου·
θεὸς τεθεμελίωκε ταύτην εἰς τὸν αἰῶνα.
ἔσχομεν σοῦ τοὺς οἰκτιρμούς, σῶτερ, ἐν τῷ λαῷ σου·
ἡ δ’ αἴνεσίς σου πανταχοῦ καὶ κατὰ τοὔνομά σου,
δικαιοσύνης ἀκριβοῦς ἡ δεξιά σου πλήρης.
ὄρος Σιὼν τὸ καθαρὸν ὡς θέμις εὐφρανθήτω,
τερφθήτωσαν αἱ φίλταται τῆς Ἰουδαίας πᾶσαι
ἕνεκεν τῶν κριμάτων σου, δέσποτα παντοκράτορ.
κυκλώσατε δὴ τὴν Σιὼν καὶ περιλάβετέ μοι
καὶ ταύτης διηγήσασθε τοῖς ἀπορθήτοις πύργοις·
εἰς δὲ τὴν δύναμιν αὐτῆς νῦν θέσθε τὰς καρδίας
καὶ ταύτης συμμερίσασθε τὰς ἀκλονήτους βάρεις,
ὅπως ἂν διηγήσησθε πρὸς γενεὰν ἑτέραν,
ὡς οὗτος ἔστιν ὁ θεὸς μέχρι παντὸς αἰῶνος,
αὐτὸς ἡμᾶς δε ποιμανεῖ πάντας εἰς τοὺς αἰῶνας.

## 48 – Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ ψαλμός

Πάντα τὰ φῦλα τῶν ἐθνῶν ἀκούσατέ μοι τάδε
καὶ πάντες ἐνωτίσασθε τὴν γῆν οἱ κατοικοῦντες,
ὁπόσοι δήπου γηγενεῖς καὶ παῖδες τῶν ἀνθρώπων
πένης ὁμοῦ καὶ πλούσιος μετὰ συμφώνου γνώμης.
σοφίαν ἀξιύμνητον λαλήσει μου τὸ στόμα
καὶ σύνεσιν ἡ κατ’ ἐμὲ φροντιστικὴ καρδία.
κλινῶ μου πρὸς παραβολὴν τῆς ἀκοῆς τοὺς πόρους,
ἀνοίξω μου τὸ πρόβλημα θυμήρει ψαλτηρίῳ.
τοῦ χάριν δέδοικα ληφθεὶς εἰς πονηρὰν ἡμέραν;
τῆς πτέρνης μου κυκλώσει με τὰ πονηρὰ πρακτέα,
οἱ πεποιθότες ἐπ’ αὐτῇ τῇ κατ’ αὐτοὺς ἰσχύι
καὶ τῶν σφετέρων θησαυρῶν καυχώμενοι τῇ κτήσει.
ὃν οὐ λυτροῦται σύγγονος· τίς ἄνθρωπος λυτροῦται;

**48** V (ff. 124rv) L (ff. 214r–215r) D (f. 209v)

**48 tit.** ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη add. LD

οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ
9 καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.
10 καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος,
οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνῄσκοντας.
11 ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται
καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν,
12 καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα,
σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν.
ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν.
13 καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν,
παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.
14 αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς,
καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν.
15 [διάψαλμα] ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, ¦
[1]θάνατος ποιμαίνει αὐτούς·
καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωί,
καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ¦
[3]ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν
16 πλὴν ὁ θεὸς λυτρώσεται τὴν ψυχήν μου / [2]ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με.
17 [διάψαλμα] μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος
καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ·
18 ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήμψεται τὰ πάντα,
οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.
19 ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται·
ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ.
20 εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ,
ἕως αἰῶνος οὐκ ὄψεται φῶς.
21 ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν,
παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

**48: 8.2** ἑαυτοῦ] *L*′ (etiam 267) 1219 : αὐτοῦ B′ 2013 1220 1098 A, ergo Rahlfs **48: 10.1** ἐκοπίασεν] codd. : ἐκόπασεν em. Grabe et accepit Rahlfs **48: 10.2** οὐκ ὄψεται] sic Ga *L*’’ (etiam 267) A* : praemittunt ὅτι B’’ 2013’ 1220 R’’ 1098 $A^{c}$’, ergo Rahlfs **48: 15.3** ἐκ … αὐτῶν] stichus singularis in 2013’ SyHe A’’, sed non in 267 ἐξώσθησαν] add. 2013’ *L*’’ (etiam 267) Th A′ : ἐξωσθήσονται 55 **48: 16.1–2** unus stichus in B′ 2013’ THe A′ **48: 17.2** καί] Rahlfs, sed ἤ *L*′ (etiam 267, non Sy) A, cfr. MPs. 48.34 δέ

ἐξίλασμά τις ἴδιον οὐ δώσει τῷ δεσπότῃ,
οὐδὲ τῶν λύτρων τῆς ψυχῆς τὴν μισθαποδοσίαν.
εἰς τὸν αἰῶνα κέκμηκε, ζήσεται γὰρ εἰς τέλος,
οὐκ ὄψεται καταφθορὰν καὶ τῶν σοφῶν θνησκόντων.
ἄφρων ἀνὴρ καὶ δυσσεβὴς ὁμοίως ἀπολοῦνται
καὶ καταλείψουσιν αὐτῶν τὸν πλοῦτον ἀλλοτρίοις
οἱ τάφοι τούτων ἔσονται πάλιν αὐτῶν οἰκίαι
καὶ τούτων τὰ σκηνώματα μέχρι παντὸς αἰῶνος,
ἐπὶ δὲ τούτων τῶν γαιῶν σημαίνουσι τὰς κλήσεις.
ἄνθρωπος ὢν τὸ πρότερον εἰς δόξαν οὐ συνῆκε,
τοῖς ἀνοήτοις κτήνεσιν εἰκότως ὡμοιώθη.
σκάνδαλον τούτοις ἀτεχνῶς ἡ κατὰ τούτου τρίβος,
μετὰ δὲ ταῦτα στόματι λαλήσουσιν εὐκρότῳ, ‖[124v]
ἔθετο τούτους πρόβατα δίχα νομῆς ἐν ᾅδῃ.
πλὴν ποιμανεῖ τοὺς δυστυχεῖς ἡ ῥάβδος τοῦ θανάτου
καὶ τούτων κυριεύσουσιν οἱ καθαροὶ συντόμως
καὶ τὴν ἐκείνων ἀρωγὴν ἕξει γηρῶσαν ᾅδης,
οἳ τῆς σφετέρας δυστυχῶς ἐξώσθησαν εὐκλείας.
πλὴν ὁ θεός μου τὴν ψυχὴν λυτρώσεται τοῦ φθόρου.
ὅταν τις ἄνθρωπος πλουτῇ, σὺ μὴ φοβοῦ τὴν τύχην,
μὴ δ’ ὅταν τούτου πληθυνθῇ τὸ κλέον τὸ κατοῖκειν·
ἐν γὰρ τῷ θνήσκειν οὐδαμῶς λήψεται ταῦτα πάντα,
οὐδὲ συγκαταβήσεται τούτῳ λοιπὸν τὸ κλέος
εἰς τὸν ἐνταῦθα τῆς ψυχῆς εὐλογουμένης βίον.
ἂν ἀγαθύνῃς ὁντινοῦν, εὐχαριστήσει χαίρων,
ἕως πατέρων γενεᾶς δραμεῖται τῶν ἰδίων,
ἕως αἰῶνος οὐδαμῶς ὄψεται φῶς ἐκεῖνος.
ἄνθρωπος ὢν ἐν τῇ τιμῇ τὴν δόξαν οὐ συνῆκεν,
ἐξεικασθεὶς τοῖς κτήνεσι τοῖς ἄφροσι τὴν φύσιν.

---

**48.22** σημαίνουσι] ἐσήμαναν in textu VL et in marg. γρ. σημαίνουσι VL

## XLIX – Ψαλμὸς τῷ Ἀσάφ

Θεὸς θεῶν κύριος ἐλάλησεν καὶ ἐκάλεσεν τὴν γῆν
ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν.
2 ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ,
ὁ θεὸς ἐμφανῶς ἥξει,
3 ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται·
πῦρ ἐναντίον αὐτοῦ καυθήσεται,
καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.
4 προσκαλέσεται τὸν οὐρανὸν ἄνω / $^{2}$καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ·
5 συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ
τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις,
6 καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ,
ὅτι ὁ θεὸς κριτής ἐστιν.
7 [διάψαλμα] Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι,
Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι·
ὁ θεὸς ὁ θεός σού εἰμι ἐγώ. / 8 οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε,
τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστιν διὰ παντός·
9 οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους
οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους.
10 ὅτι ἐμά ἐστιν πάντα τὰ θηρία τοῦ δρυμοῦ,
κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες·
11 ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ,
καὶ ὡραιότης ἀγροῦ μετ᾽ ἐμοῦ ἐστιν.
12 ἐὰν πεινάσω, οὐ μή σοι εἴπω·
ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.
13 μὴ φάγομαι κρέα ταύρων / $^{2}$ἢ αἷμα τράγων πίομαι;
14 θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως
καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου·
15 καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως,
καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.
16 [διάψαλμα] τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός
Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου
καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

**49: 4.1–2** unus stichus in S 2013’ **49: 13.1–2** unus stichus in S Sa Sy 1219’ necnon 267 **49: 16.2** ἐκδιηγῇ ] *L*Tht$^{p}$ (etiam 267) A : διηγῇ Rahlfs

### 49 – Ψαλμὸς τῷ Δαυίδ

Θεὸς θεῶν ἐλάλησε, κέκληκε δὲ τὴν κτίσιν
ἀπὸ λαμπρῶν ἀνατολῶν μέχρι δυσμῶν ἡλίου.
ἐκ τῆς Σιὼν ἡ κατ' αὐτὸν τοῦ κάλλους ὡραιότης
ἥξει προδήλως ὁ θεὸς ἐπὶ τὴν τότε κρίσιν,
οὐ παρασιωπήσεται τὴν ἔλευσιν ἐκείνην.
πῦρ ἐκκαυθήσεται δεινὸν ἀπὸ προσώπου τούτου,
κύκλῳ δὲ τούτου καταιγὶς καὶ φοβερὰ σφοδρότης,
τὸν οὐρανόν τε καὶ τὴν γῆν καλήσει πρὸς τὴν δίκην
καὶ συναγάγεται κοινῇ τοὺς ἐκλεκτοὺς τὸν βίον,
τοὺς ἐν ὁλοκαυτώμασι τηρήσαντας τὸν νόμον.
ἀναγγελοῦσι δ' οὐρανοὶ πᾶσιν αὐτοῦ τὴν θέμιν,
ὅτι κριτής ἐστιν αὐτὸς πᾶσαν ἐτάζων φύσιν.
«λαὸς ἐμός, ἀκούσατε· θέλων γὰρ τί λαλῆσαι
καὶ τῷ πλησίον Ἰσραὴλ διαμαρτύρασθαί σοι·
ἔγωγε σός εἰμι θεός· οὐκ ἔλεγχος, εἰ θύεις,
τὰ γὰρ ὁλοκαυτώματα πάντα σου προσδεκτά μοι,
πλὴν οὓς ἂν φέροις οἴκοθεν οὐκ ἐπαινέσω μόσχους,
ἀλλ' οὐδ' ἐκ τῶν ποιμνίων σου προσδέξομαι χιμάρρους·
ἐμὰ γὰρ πάντα τῶν ἀγρῶν τυγχάνει τὰ θηρία
καὶ κτήνη τὰ τοῖς ὄρεσι τρεφόμενα καὶ βόες.
ἔγνωκα δὲ τῶν πετεινῶν τὰς ὑψιδρόμους φύσεις,
σύνεστι δέ μοι τῶν ἀγρῶν ἡ χρονικὴ φαιδρότης.
οὐδέν σοι φθέγξομαι πεινῶν, οὐδὲ ζητήσω βρῶσιν·
ἐμά γαρ τὰ πληρώματα τῆς ὅλης οἰκουμένης.
μὴ κρέα ταύρων φάγωμαι, πίωμαι δ' αἷμα τράγων;
θῦσον ἁγνῆς αἰνέσεως τῷ παντουργῷ θυσίαν
καὶ πρὸς τὸν ὕψιστον αὐτὸν ἀπόδος τὰς εὐχάς σου,
κάλεσον δή με βοηθὸν ἐν θλίψεως ἡμέρᾳ
καὶ ῥύσομαί σε παρευθύς, εἶτα με σὺ δοξάσεις.»
τῷ δὲ βιοῦντι πονηρῶς εἶπεν ὁ πάντα βλέπων·
«πῶς σὺ τρανῶς ἐκδιηγῇ τὰ δικαιώματά μου
καὶ τὰ τῆς διαθήκης μου κραυγάζει σου τὸ στόμα;

**49** V (ff. 124v–125r) L (ff. 215r–216r) D (ff. 209v–210r)

**49 tit.** ψαλμὸς τῷ Ἀσὰφ θεὸς θεῶν ἐλάλησε καὶ ἐκάλεσε add. L : ψαλμὸς τῷ Ἀσὰφ θεὸς θεῶν ἐλάλησε καὶ ἐκάλεσε τὴν γ D **49.10** τηρήσαντας] τήσαντες L : ἠτήσαντας D

17 σὺ δὲ ἐμίσησας παιδείαν / 2καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω.
18 εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ,
καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις·
19 τὸ στόμα σου ἐπλεόνασεν κακίας,
καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα·
20 καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις
καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.
21 ταῦτα ἐποίησας, καὶ ἐσίγησα·
ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος·
ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου ἁμαρτίας σου.
22 σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ,
μήποτε ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ῥυόμενος·
23 θυσία αἰνέσεως δοξάσει με,
καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ θεοῦ.

**LI – Εἰς τὸ τέλος· συνέσεως τῷ Δαυὶδ 2 ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀ-ναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ Ἦλθεν Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ**

3 Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός,
ἀνομίαν ὅλην τὴν ἡμέραν; / 4 ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου·
ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.
5 ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην,
ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην.
6 [διάψαλμα] ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, / 2γλῶσσαν δολίαν.
7 διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος·
ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματος
καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων.
8 [διάψαλμα] καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται
καὶ ἐπ’ αὐτὸν γελάσονται καὶ ἐροῦσιν
9 Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν αὐτοῦ,
ἀλλ’ ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ
καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
10 ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ·

---

**49: 17.1–2** unus stichus in 1023-Sa$^{B}$ 1219 necnon 267 **49: 18.2** μετὰ μοιχοῦ] *L* (etiam 267, non He) : μετὰ μοιχῶν Rahlfs **49: 19.1** κακίας] $L^{d}$ : κακίαν Rahlfs necnon 267 **49: 21.3** ἁμαρτίας σου] add. *L*’’ (etiam 267) 1219’ **51: 3.2–4.1** unus stichus 2013’ R’’ Ga necnon 267 **51: 6.1–2** duo stichi Ga Sy, sed unus rel. codd.

σύ δε μισήσας παίδευσιν ἀπώσω μου τοὺς λόγους;
ἂν ἐθεώρεις κλέπτοντα, συντρέχων ὡμολόγεις,
τὴν δὲ μερίδα σου μοιχῷ συντεταγμένην εἶχες.
κακίας ἐπλεόνασε τὸ βδελυκτόν σου στόμα
καὶ δόλους περιέπλεκεν ἡ γλῶσσα σου ποικίλους.
κατὰ τοῦ σοῦ καθήμενος ἐλάλεις ὁμοσπόρου
καὶ σκάνδαλον ἡτοίμαζες εἰς τὸν μητρῷον τόκον. ‖125r
ταῦτα σου δρῶντος ἔγωγε σεσιγηκὼς εὑρήθην·
ὑπέλαβες ἀνόμημα, σαυτῷ με παρεικάσας,
ἐλέγξω κατὰ πρόσωπον τὰ πλημμελήματά σου.
οἱ λήθην ἔχοντες θεοῦ σύνετε δή μοι τάδε,
μήπως ἁρπάσῃ μηδενὸς λυτροῦσθαι δυναμένου·
αἰνέσεως θυσία με δοξάσει τὸν δεσπότην
καὶ δείξω τούτῳ σωστικὴν ἐν τοῖς κινδύνοις τρίβον.»

**51 – Εἰς τὸ τέλος συνέσεως τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ ἦλθε Δαυὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ**

Τοῦ χάριν ἔργοις πονηροῖς, ὁ δυνατός, κομπάζεις;
ὅλης ἡμέρας τὰ δεινὰ τῆς γλώττης ἐλογίσω,
ὡσεὶ ξυρὸν ἐποίησας ἠκονημένον δόλον·
κακίας γὰρ ἠγάπησας, ἀλλ’ οὐκ ἀγαθωσύνην,
ὡς ἀδικίαν πονηρὰν ἢ τὸ λαλῆσαι θέμιν.
πᾶν ῥῆμα καταποντισμοῦ γλώττης ψευδοῦς ἠσπάσω,
ὅθεν ὁ φύσει δυνατὸς εἰς τέλος καθελεῖ σε,
ἐκτίλαι σε καὶ τῆς σκηνῆς, ἧς ἔχεις, ἀποστῆσαι,
ἐκ γῆς δε ζώντων ἅπαν σου τὸ ῥίζωμα ληφθείη.
ἰδόντες φοβηθήσονται δίκαιοι μᾶλλον τάδε
καὶ κατ’ αὐτοῦ γελάσαντες ἐροῦσι παραυτίκα·
«ἄνθρωπος οὗτος ὁ μὴ θεὶς ἐπίκουρον τὸν κτίστην,
ἐν γὰρ τῷ πλήθει σφαλερῶς ἐπήλπισε τοῦ πλούτου,
ἐπὶ δὲ ματαιότητι προσείληφε καὶ σθένος.»
ἐγὼ δ’ ὡς οἴκῳ τοῦ θεοῦ κατάκαρπος ἐλαία

**51** V (f. 125r) L (ff. 216rv) D (f. 210v)

**49.34** ἐθεώρεις] ἐθεώρης D **49.37** ποικίλους] ποικήλως D **51 tit.** τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός add. LD : Mi.Ps. *Poem.* 1.132–140 (ed. Westerink) in marg. ext. f. 210v D (vid. app. 1)

ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
11 ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας,
καὶ ὑπομενῶ τὸ ὄνομά σου, / 3ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

**LIII – Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυὶδ 2 ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ Οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ’ ἡμῖν;**

3 Ὁ θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με
καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με.
4 ὁ θεός, εἰσάκουσον τῆς προσευχῆς μου,
ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
5 ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ’ ἐμέ,
καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου·
οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν.
6 [διάψαλμα] ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι,
καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.
7 ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου·
ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.
8 ἑκουσίως θύσω σοι,
ἐξομολογήσομαι τῷ ὀνόματί σου, κύριε, ὅτι ἀγαθόν·
9 ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με,
καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

**LIV – Εἰς τὸ τέλος, ἐν ὕμνοις· συνέσεως τῷ Δαυίδ**

2 Ἐνώτισαι, ὁ θεός, τὴν προσευχήν μου
καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου, / 3 πρόσχες μοι καὶ εἰσάκουσόν μου.
ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου ¦
[2]καὶ ἐταράχθην / 4 ἀπὸ φωνῆς ἐχθροῦ ¦
[1]καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ,

**51: 11.2–3** duo stichi La$^{G}$ Ga T, sed unus rel. codd. **53: 6.2** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs **53: 7.2** ἐξολόθρευσον] B *L′* (etiam 267) 55 : ἐξολέθρευσον S 2013 R T, ergo Rahlfs
**54: 3.2–4.1** sic dividit R’’

τοῖς οἰκτιρμοῖς ἐπήλπισα τοῦ σώζειν δυναμένου.
εἰς τὸν αἰῶνα τὸν μακρὸν ἄχρι παντὸς αἰῶνος
εὐχαριστήσω δὲ τῶν σῶν, ὧν κατειργάσω, χάριν
καὶ σοῦ τὴν κλῆσιν ὡς χρηστὴν ὑπομενῶ τοῖς δούλοις.

**53 – Εἰς τὸ τέλος ἐν ὕμνοις· συνέσεως τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ, οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται παρ᾽ ἡμῖν;**

Ὁ πλαστουργὸς ἐν τῇ σαυτοῦ σῶζε φρικτῇ με κλήσει
καὶ γὰρ ἐν τῇ δυνάμει σου κρινεῖς με τὸν ἱκέτην.
εἰσάκουσον ὡς εὔσπλαγχνος τῆς ἔνδον προσευχῆς μου,
ἐνώτισαι τὰ ῥήματα πάντα τοῦ στόματός μου·
τινές γαρ ἐπανέστησαν ἄνδρες ἀλλόφυλοί μοι
καὶ κραταιοί μου τὴν ψυχὴν ἐζήτησαν ὀλέσαι
καὶ τὸν θεὸν οὐκ ἔθεντο πρόσθεν τῶν σφῶν ὀμμάτων.
ἰδού γαρ οὗτος ὁ θεὸς ἐπίκουρος ἐστί μοι,
καμνούσης δέ μου τῆς ψυχῆς ἀντιλαμβάνεταί μου,
ὃς ἀποστρέψει τὰ κακὰ τοῖς ἐπεμβαίνουσί μοι·
ἐν ἀληθείᾳ δὲ τῇ σῇ θραῦσον αὐτοὺς εἰς τέλος.
ἐγώ δ’ ἑκών σοι μυστικὴν εὐγνωμοσύνην θύσω,
ὡς ἀγαθὴν δὲ φυσικῶς ὑμνήσω σου τὴν κλῆσιν·
ἐκ γὰρ παντός με δυσχεροῦς ἐπιφανεὶς ἐρρύσω
κἀν τοῖς ἐχθροῖς τὸν ὀφθαλμὸν ἐπέβαλον ἀσμένως.

**54 – Εἰς τὸ τέλος ἐν ὕμνοις· συνέσεως τῷ Δαυίδ**

Ἐνώτισαι, φιλάνθρωπε, τὴν προσευχήν μου πράως
καὶ μὴ παρίδῃς τὰς λιτάς, ἀλλ’ εἰσακούσας πρόσχες.
εἰς τὴν ἀδολεσχίαν μου στυγνάσας ἐλυπήθην,
ἀπὸ φωνῆς δε δυσμενοῦς ἀθρόας ἐταράχθην,
ἁμαρτωλοῦ δε θλίβοντος, τοῦτο παθὼν εὑρήθην·

**53** V (f. 125r) L (ff. 216v–217r) D (ff. 210v–211r) **54** V (ff. 125rv) L (ff. 217r–218r) D (f. 211r)

**53 tit.** ὁ θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με add. LD : Mi.Ps. *Poem.* 1.141–149 (ed. Westerink) intra columnas f. 210v D (vid. app. 1) **53.6** ὀλέσαι] ὠλέσαι D **54 tit.** εἰς τὸ τέλος τῷ Δαυίδ ψαλμὸς· ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου add. LD

ὅτι ἐξέκλιναν ἐπ’ ἐμὲ ἀνομίαν
καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
5 ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί,
καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ’ ἐμέ·
6 φόβος καὶ τρόμος ἦλθεν ἐπ’ ἐμέ, / ²καὶ ἐκάλυψέν με σκότος.
7 καὶ εἶπα Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς
καὶ πετασθήσομαι καὶ καταπαύσω;
8 ἰδοὺ ἐμάκρυνα φυγαδεύων / ²καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
9 [διάψαλμα] προσεδεχόμην τὸν σῴζοντά με
ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος.
10 καταπόντισον, κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν,
ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.
11 ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς,
ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία,
12 καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος.
13 ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν,
καὶ εἰ ὁ μισῶν με ἐπ’ ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ’ αὐτοῦ.
14 σὺ δέ, ἄνθρωπε ἰσόψυχε, / ²ἡγεμών μου καὶ γνωστέ μου,
15 ὃς ἐπὶ τὸ αὐτό μοι ἐγλύκανας ἐδέσματα,
ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ·
16 ἐλθέτω θάνατος ἐπ’ αὐτούς, / ²καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες,
ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν.
17 ἐγὼ δὲ πρὸς τὸν θεὸν ἐκέκραξα, / ²καὶ ὁ κύριος εἰσήκουσέν μου.
18 ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι·
ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.
19 λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι,
ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί.
20 εἰσακούσεται ὁ θεὸς καὶ ταπεινώσει αὐτούς,
ὁ ὑπάρχων πρὸ τῶν αἰώνων.
[διάψαλμα] οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, / καὶ οὐκ ἐφοβήθησαν τὸν θεόν.
21 ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι·
ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ.
22 διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ,
καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν·

**54: 6.1–2** unus stichus S 2013 55 necnon 267, Philes καί[2] (om. 2013) legit, cum δέ scripsisset **54: 8.1–2** unus stichus B′ 2013’ R′ Sy 55 necnon 267 **54: 14.1–2** duo stichi Ga et T, sed unus rel. codd. **54: 16.1–2** unus stichus B′ R′ 1219’ necnon 267 **54: 17.1–2** duo stichi Sa et He, sed unus rel. codd. **54: 20.3–4** unus stichus 2013’ R’’ Ga SyHe 55 **54: 22.2** ἤγγισαν … αὐτῶν] *L’’* (etiam 267) : ἤγγισεν ἡ καρδία αὐτοῦ B’’ 2013’ R’’ Ga He[c], ergo Rahlfs

ἐξέκλιναν γὰρ ἐπ’ ἐμὲ ληφθέντες ἀνομίᾳ
καὶ κατ’ ὀργήν μοι πονηρὰν ἀσχέτως ἐνεκότουν.
ἔσχε δὲ πλείστην ταραχὴν ἡ κατ’ ἐμὲ καρδία,
δειλία δέ μοι παρευθὺς ἐπέπεσε θανάτου,
φόβος καὶ τρόμος ἐπ’ ἐμέ, σκότος δ’ ἐκάλυψέ με.
εἶπα δὲ· «τίς με πτέρυξι περιστερᾶς ὁπλίσει
καὶ πετασθήσομαι ταχὺ καὶ καταπαύσω τρέχων; ‖125v
πλὴν ὡς φυγάς τις μακρυνθεὶς ηὐλίσθην ἐν ἐρήμῳ.
προσεδεχόμην τὸν θεὸν τὸν δυνατὸν ἐξάγειν
τῆς ὀλιγοψυχίας με καὶ τῆς ἐνταῦθα ζάλης.»
καταποντίσας δίελε τούτων τὰς γλώττας, ἄναξ·
ἀντίφθογγον γὰρ ἔδειξαν τῇ πόλει κακουργίαν,
ταύτης τὰ τείχη δυσμενὴς πάντα καιρὸν κυκλώσει,
κόπος δὲ ταύτης μεταξὺ καὶ πόνος καὶ κακία·
οὐ γὰρ ἐξέλιπεν αὐτῆς οὐ δόλος οὐδὲ τόκος.
ὡς ἂν ἐχθρὸς ὠνείδισεν, εἶχον ἂν πράως φέρειν,
τοῦδ’ ἐπ’ ἐμὲ κομπάσαντος εὐθὺς ἂν ἀπεκρύβην.
σύ δ’ ἄνθρωπε φιλούμενε, γνωστέ μου, φροντιστά μου,
ὃς ἐδωδὴν ἐγλύκανας καὶ παρατέθεικάς μοι,
ὁμοῦ συμπεπορεύμεθα πρὸς τὴν τοῦ κτίστου στέγην.
ἐλθέτω πότμος ἐπ’ αὐτούς, ἀχθήτωσαν εἰς ᾅδην·
ἐν μέσῳ γὰρ τὰ πονηρὰ τῆς τούτων παροικίας.
ἐκέκραξα πρὸς τὸν θεόν, οὗτος δ’ εἰσήκουσέ μου,
ἑσπέρας ἅμα καὶ πρωὶ καὶ κατὰ μεσεμβρίαν.
ἀπαγγελῶ φθεγξάμενος, ὅδ’ εἰσακούσεταί μου,
λυτρώσεταί μου τὴν ψυχὴν τῶν πέλας ἐν εἰρήνῃ·
ἐν γὰρ πολλοῖς οἱ σὺν ἐμοὶ καὶ πρὸ τῶν ἄλλων ἦσαν.
ἀλλ’ εἰσακούσεται θεὸς καὶ ταπεινώσει τούτους,
ὁ καὶ πρὸ πάντων ἀληθῶς ὑπάρχων τῶν αἰώνων·
οὐ γάρ ἐστιν ἀντάλλαγμα τοῖς ἀπτοήτοις τούτοις.
ἀποδιδοὺς ἐξέτεινε τὴν χεῖρα τὴν ἰδίαν,
ἀφρόνως ἐβεβήλωσαν τὴν τούτου διαθήκην,
διεμερίσθησαν ὀργῇ τοῦ κατ’ αὐτὸν προσώπου
καὶ πάλιν προσεπέλασαν αἱ πονηραὶ καρδίαι,

ἠπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, / [4]καὶ αὐτοί εἰσιν βολίδες.
23 ἐπίρριψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει·
οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ.
24 σὺ δέ, ὁ θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς·
ἄνδρες αἱμάτων καὶ δολιότητος / [3]οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν.
ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ, κύριε.

**LV – Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου· τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ**

2 Ἐλέησόν με, κύριε, ὅτι κατεπάτησέν με ἄνθρωπος,
ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέν με.
3 κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν,
ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.
4 [ἡμέρας] <οὐ> φοβηθήσομαι, ἐγὼ δὲ ἐπὶ σοὶ ἐλπιῶ.
5 ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου [ὅλην τὴν ἡμέραν].
ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι· τί ποιήσει μοι σάρξ;
6 ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο,
κατ᾽ ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν.
7 παροικήσουσιν καὶ κατακρύψουσιν· / [2]αὐτοὶ τὴν πτέρναν μου φυλάξουσιν,
καθάπερ ὑπέμειναν τὴν ψυχήν μου.
8 ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς,
ἐν ὀργῇ λαοὺς κατάξεις, ὁ θεός.
9 τὴν ζωήν μου ἐξήγγειλά σοι,
ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου.
10 ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω,
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε· / [3]ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ.
11 ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα, / [2]ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον.
12 ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;
13 ἐν ἐμοί, ὁ θεός, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι,
14 ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου
[2a]<τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων> / [2b]καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος

---

**54: 22.3–4** unus stichus B′ 2013 R′ SyHe 55 necnon 267 **54: 24.2–3** duo stichi $\mathrm{La}^{G}$ TSyHe (ergo Rahlfs), unus rel. codd. **55: 4.1** ἡμέρας] om. 2013’ **55: 4.1** οὐ] add. 2013’ *L*’’ (etiam 267) SuTh 55 : om. B’’ R’’, ergo Rahlfs **55: 5.1** ὅλην … ἡμέραν] om. S GaAug *L*’’ (etiam 267) 1219, praebent B’ 2013’ R’’ 55, ergo Rahlfs **55: 10.2–3** unus stichus 55 necnon 267 **55: 14.2a – 2b** sic 267 (sed sine καί), add. stichum 14.2a τούς … δακρύων $\mathrm{Bo}^{p}$ R′ Aug *L*′ 1219’

οἱ λόγοι σφῶν ὡς ἔλαιον, οὗτοι δ’ εἰσὶ βολίδες.
ῥίψον τὴν τύρβην πρὸς θεὸν καὶ θρέψει σε πλησμίως,
σάλον ἐν βίῳ πονηρὸν οὐ δώσει τῷ δικαίῳ.
σύ δ’ ὁ θεὸς διαφθορᾶς ἄξεις αὐτοὺς εἰς φρέαρ,
οὐχ ἡμισεύσουσι τὸν σφῶν ἄνδρες αἱμάτων βίον.
ἐγώ δ’ εἰς σὲ τὸν κτίστην μου στηρίξω τὴν ἐλπίδα.

## 55 – Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ

Βροτός με κατεπάτησεν, οἴκτειρον σύ με, σῶτερ,
ἔθλιψε δέ με πολεμῶν καθ’ ὅλην τὴν ἡμέραν.
ἐχθροί με πεπατήκασιν ἐφ’ ὅλης τῆς ἡμέρας·
πολλοί γαρ οἱ μισοῦντες με καὶ βάλλοντες ὑψόθεν,
ἐγώ δ’ οὐ φοβηθήσομαι πηγνύς σοι τὴν ἐλπίδα.
ἐν τῷ θεῷ τῶν λόγων μου τὴν χάριν ἐπαινέσω
καὶ τῷ θεῷ μου πεποιθὼς ἔργα σαρκὸς οὐ τρέμω.
ὅλην ἡμέραν – ὡς εἰπεῖν – ἐμίσουν μου τοὺς λόγους,
πᾶς τις δὲ τούτων λογισμὸς πρός τι κακόν μοι βλέπει.
τὴν πτέρναν μου φυλάξουσιν ἐν παροικίαις οὗτοι,
ὥσπερ αὐτήν μου τὴν ψυχὴν ὑπομεμενηκότες.
αὐτός δ’ ὑπὲρ τοῦ μηθενὸς ὤσεις αὐτοὺς ἀθρόους,
κατάξεις δήμους ἐν ὀργῇ συντόνῳ δυσαγώγους.
ἐξήγγειλα, παμβασιλεῦ, τὸν ἐμαυτοῦ σοι βίον,
εἶδες μου δὲ τὰ δάκρυα, καθάπερ ἐπηγγείλω.
ἀλλ’ ἐπιστρέψουσιν ἐμοῦ κατόπιν οἱ μισοῦντες,
καθ’ ἣν ἡμέραν σε καλῶ σωτῆρα προσλαμβάνω.
αἰνέσω ῥῆμα τῷ θεῷ, τούτῳ δ’ αἰνέσω λόγον,
ἤλπισα δὲ πρὸς τὸν θεὸν μὴ φοβηθεὶς ἀνθρώπους.
σοί δ’ ἀποδώσω τὰς εὐχὰς τὰς ἐν ἐμοὶ σὺν κρότοις·
ἐρρύσω γάρ μου τὴν ψυχὴν θανάτου πολυτρόπου,
δακρύων δὲ τοὺς ὀφθαλμοὺς καὶ πτώματος τοὺς πόδας,

**55** V (f. 125v) L (ff. 218rv) D (ff. 211r–211v)

inter MPs. 54 – 55 δόξα et κάθισμα η′ non praebet V **55 tit.** ἐλέησόν με, ὁ θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος add. LD : Mi.Ps. *Poem.* 1.150–160 (ed. Westerink) in marg. inf. f. 211r D (vid. app. 1) **55.9** πρός … βλέπει ] in marg. ext. idem hemistichium rescripsit V

εὐαρεστήσω ἐνώπιον τοῦ θεοῦ ἐν φωτὶ ζώντων.

### LVI – Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυὶδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον

2 Ἐλέησόν με, ὁ θεός, ἐλέησόν με, / [2]ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου
καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ,
ἕως οὗ παρέλθῃ ἡ ἀνομία.
3 κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον,
τὸν θεὸν τὸν εὐεργετήσαντά με.
4 ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέν με,
ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με.
[διάψαλμα] ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ
5 καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.
ἐκοιμήθην τεταραγμένος·
υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη,
καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.
6 ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός, / [2]καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7 παγίδα ἡτοίμασαν τοῖς ποσίν μου / [2]καὶ κατέκαμψαν τὴν ψυχήν μου·
ὤρυξαν πρὸ προσώπου μου βόθρον / [4]καὶ ἐνέπεσαν εἰς αὐτόν.
8 [διάψαλμα] ἑτοίμη ἡ καρδία μου, ὁ θεός, / [2]ἑτοίμη ἡ καρδία μου, ¦
[2]ᾄσομαι καὶ ψαλῶ <σοι>. / 9 ἐξεγέρθητι, ἡ δόξα μου·
ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα·
ἐξεγερθήσομαι ὄρθρου. / 10 ἐξομολογήσομαί σοι ἐν λαοῖς, κύριε,
ψαλῶ σοι ἐν ἔθνεσιν, / 11 ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου
καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
12 ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός, / [2]καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

### LVII – Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυὶδ εἰς στηλογραφίαν

2 Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε;

**55: 14.3** εὐαρεστήσω] Bo *L′* (etiam 267) : τοῦ εὐαρεστῆσαι Rahlfs **56: 2.1–2** unus stichus Sa **56: 7.1–2** unus stichus Sa **56: 7.3–4** duo stichi B Ga[c], unus rel. codd. **56: 8.1–9.1** sic praebet 267 (sine 8.2 σοι), stichos 8.1–2 sic distribuit R′ **56: 8.2** σοι] add. Sa He et 269 (vid. apparatum H.–P.) **56: 9.3–10.1** unus stichus Sa, unus stichus una cum ψαλῶ σοι ἐν ἔθνεσιν 267 **56: 10.2–11.1** ψαλῶ σοι cum 11.1 iungit Sa (om. ἐν ἔθνεσιν) **56: 12.1–2** sic dividit 267

εὐαρεστήσω πρὸς θεοῦ φῶς ἀθανάτων βλέπων.

## 56 – Εἰς τέλος· μὴ διαφθείρῃς· τῷ Δαυὶδ εἰς στηλογραφίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον· ‖126r

Φεῖσαι μου, σῶτερ, φεῖσαι μου σοὶ πεποιθότος μόνῳ,
ἐν τῇ σκιᾷ γαρ τῇ τῶν σῶν πτερύγων καθεδοῦμαι,
ἕως ἂν ἅπαν τὸ κακὸν εἰς τέλος ἀφυβρίσῃ.
κεκράξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον ἐκ βάθους,
θεὸν τὸν ὡς φιλάνθρωπον εὐεργετήσαντά με.
ἀπέστειλεν ἐξ οὐρανοῦ καὶ διασέσωκέ με
καὶ τοὺς καταπατοῦντας με παρέδωκεν εἰς ὕβριν.
πέπομφε δὲ τοὺς οἰκτιρμοὺς μετὰ τῆς ἀληθείας
καὶ σέσωκέ μου τὴν ψυχὴν σκύμνων δεινῶν ἐκ μέσου.
ἐγώ δε σφόδρα ταραχθεὶς ἐντεῦθεν ἐκοιμήθην,
παῖδες ἀνθρώπων ὥπλισαν ὀδόντας ὑπὲρ βέλη
καὶ τεθηγμένη μάχαιρα τούτων ἐστὶν ἡ γλῶσσα.
βαῖνε πρὸς πόλον, ὕψιστε, δόξῃ τὴν γῆν κοσμήσας.
ἡτοίμασάν μου τοῖς ποσὶ παγίδα ψυχοφθόρον,
ὤρυξαν βόθρον μοι δεινόν, ἀλλ’ ἔπεσον εἰς τοῦτον.
ἑτοίμην, κέκτημαι, σωτήρ, ἑτοίμην τὴν καρδίαν,
ᾄσομαι δέ σοι καὶ ψαλῶ τὴν δόξαν μου δεικνύων.
ἐγέρθητι τὸ κλέος μου καὶ λύρᾳ καὶ κιθάρᾳ
κἀν τοῖς λαοῖς ὀρθρίσας σε δοξάσω τὸν δεσπότην.
ψαλῶ σοι κἀν τοῖς ἔθνεσι τοὺς οἰκτιρμοὺς ὑψοῦντι
καὶ τὴν ἀλήθειαν τὴν σὴν ἄχρι νεφῶν ἀδήλων,
εἰς οὐρανοὺς ὑψώθητι δόξης τὴν γῆν ἐμπλήσας.

## 57 – Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυὶδ εἰς στηλογραφίαν

Ἂν ἄρα θέμιν ἀληθῶς λαλῆτε πρὸς ἀλλήλους,

**56** V (f. 125v–126r) L (f. 218v) D (f. 211v) **57** V (f. 126r) L (f. 219r) D (f. 211v)

**56 tit.** ἐλέησόν με, ὁ θεὸς, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν add. LD : Mi.Ps. *Poem.* 1.161–169 (ed. Westerink) in marg. ext. D (vid. app. 1) **56.14** τοῖς ποσί] τὴν ψυχήν LD **57 tit.** εἰ ἀληθῶς ἆρα δικαιοσύνην add. LD

εὐθεῖα κρίνατε, οἱ υἱοὶ τῶν ἀνθρώπων;
3 καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ,
ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.
4 ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας,
ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψεύδη.
5 θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως,
ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς,
6 ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων
φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ.
7 ὁ θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν,
τὰς μύλας τῶν λεόντων συνέθλασεν κύριος.
8 ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον·
ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσουσιν.
9 ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται·
ἐπέπεσε πῦρ <ἐπ’ αὐτούς>, καὶ οὐκ εἶδον τὸν ἥλιον.
10 πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον,
ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.
11 εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν [ἀσεβῶν]·
τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.
12 καὶ ἐρεῖ ἄνθρωπος Εἰ ἄρα ἔστιν καρπὸς τῷ δικαίῳ,
ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.

## LVIII – Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλεν Σαοὺλ καὶ ἐφύλαξεν τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν

2 Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός/$^{2}$καὶ ἐκ τῶν ἐπανιστανομένων ἐπ’ ἐμὲ λύτρωσαί με·
3 ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν
καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.
4 ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου,
ἐπέθεντο ἐπ’ ἐμὲ κραταιοί.
οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁμαρτία μου, κύριε·
5 ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυναν·
ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε.

---

**57: 2.2** εὐθεῖα] εὐθείας *L′* (etiam 267) κρίνατε] *L*$^{d}$ T′ R$^{c}$ 55 : κρίνετε rel. codd. **57: 6.1** φωνῆς] *L′* (etiam 267, non THe*) 55 : φωνήν Rahlfs **57: 7.1** συντρίψει] Bo Sa R *L′* (etiam 267) 55 : συνέτριψεν B′, ergo Rahlfs **57: 9.2** ἐπ’ αὐτούς] add. *L″* (etiam 267) Th **57: 10.2** αὐτούς] S R″ Ga$^{c}$Vulg *L* (etiam 267) 1219’ : ὑμᾶς B’ Sa Ga* TTht’ He*Th, ergo Rahlfs **57: 11.1** ἀσεβῶν] om. S’ GaAug *L′* (etiam 267) 55
**58: 5.2** ἴδε] H.–P. et 267 : ἰδέ Rahlfs

παῖδες ἀνθρώπων κρίνατε τὰς κρίσεις τὰς εὐθείας;
ἐν γὰρ ἀνόμοις ἐπὶ γῆς καρδίαις κακουργεῖτε,
ὅτι συμπλέκουσιν ὑμῶν αἱ χεῖρες ἀδικίαν.
ἐκ μήτρας ἀπεκρούσθησαν οἱ δυσσεβεῖς τὸν τρόπον,
γαστρόθεν ἐπλανήθησαν ψευδόμενοι τοῖς λόγοις.
θυμὸς αὐτοῖς ὁμοίωσις ἐχίδνης ἐπιβούλου
ἢ καὶ βυούσης ὡς κωφῆς τὴν ἀκοὴν ἀσπίδος,
ἥτις οὐκ εἰσακούσεται φωνῆς τῶν ἐπᾳδόντων
παρὰ σοφοῦ καὶ φαρμακοῦ πολλάκις ἀπρακτοῦσα.
θεὸς ἐν στόματι τῷ σφῶν συντρίψει τοὺς ὀδόντας·
τῶν γὰρ λεόντων εὐσθενῶς συνέθλασε τὰς μύλας,
ὡς ὕδωρ πορευόμενον κριθήσονται χυδαῖοι,
τὸ τόξον τούτοις ἐντενεῖ μέχρις ἐσχάτης νόσου,
ὡσεὶ κηρός τις ἐκτακεὶς οἰχήσονται καθάπαξ.
πυρὸς πεσόντος ἐπ' αὐτοὺς οὐκ εἶδον τὸν φωσφόρον.
πρὸ τοῦ τὴν ῥάμνον τὰς ὑμῶν ἀκάνθας συνιέναι,
ὡς ζῶντας τούτους ἐν ὀργῇ καταποθέντας θήσει.
χαιρήσει δίκαιος ἀνὴρ ἐκδίκησιν ἀθρήσας,
ἐν αἵμασιν ἁμαρτωλοῦ νίψεται δὴ τὰς χεῖρας.
βροτός δε φθέγξεται· «καρπὸς ἂν ἧτις τῷ δικαίῳ,
ἄρ' ἔστι τούτους ὁ θεὸς ἐπὶ τῆς γῆς ὁ κρίνων.»

## 58 – Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαυὶδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν

Ῥῦσαι με, σῶτερ, τῶν ἐχθρῶν τῶν ἐπανισταμένων
καὶ τῶν τὴν πολυστένακτον πραττόντων ἀνομίαν
καὶ σῶσον με τὸν δοῦλον σου, νῦν ἐξ ἀνδρῶν αἱμάτων.
ἰδοὺ γὰρ τεθηρεύκασι τὴν τῆς ψυχῆς μου πτῆσιν,
ἐπέθεντό μοι κραταιοὶ δυνάσται, παντοκράτορ.
οὔτε μοι πρᾶξις ἄνομος, οὔτε τις ἁμαρτία,
πλὴν ἀνομίας ἔδραμον καὶ κατηυθύνθην τρέχων.
ἐγέρθητι, συνάντησον καὶ βλέψον με τὸν δοῦλον,

**58** V (ff. 126rv) L (ff. 219r–220r) D (f. 212r)

**56.19** ἀθρήσας] ἀθροίσας D **56.21** ἧτις] ἦτις VL, spiritus non distinguitur in D **58 tit.** ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ θεός, καὶ ἐκ τῶν ἐπα add. L : Mi.Ps. *Poem.* 1.170–174 (ed. Westerink) in marg. ext D (vid. app. 1)

6 καὶ σύ, κύριε ὁ θεὸς τῶν δυνάμεων ὁ θεὸς Ἰσραήλ,
πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη,
μὴ οἰκτιρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.
7 [διάψαλμα] ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων ¦
[1]καὶ κυκλώσουσιν πόλιν.
8 ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν,
καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν· ¦
[2]ὅτι τίς ἤκουσεν; / 9 καὶ σύ, κύριε, ἐκγελάσῃ αὐτούς,
ἐξουδενώσεις πάντα τὰ ἔθνη.
10 τὸ κράτος μου, πρὸς σὲ φυλάξω,
ὅτι ὁ θεὸς ἀντιλήπτωρ μου εἶ.
11 ὁ θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με·
ὁ θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς μου.
12 μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου·
διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου
καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου κύριε.
13 ἁμαρτία στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν,
καὶ συλλημφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν·
καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντέλειᾳ
14 ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν·
καὶ γνώσονται ὅτι ὁ θεὸς δεσπόζει τοῦ Ἰακώβ, ¦
[2]τῶν περάτων τῆς γῆς.
15 [διάψαλμα] ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων ¦
[1]καὶ κυκλώσουσιν πόλιν.
16 αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν·
ἐὰν δὲ μὴ χορτασθῶσιν, καὶ γογγύσουσιν.
17 ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου
καὶ ἀγαλλιάσομαι τὸ πρωὶ τὸ ἔλεός σου,
ὅτι ἐγενήθης ἀντιλήπτωρ μου / [4]καὶ καταφυγὴ ¦
[4]ἐν ἡμέρᾳ θλίψεώς μου. / 18 βοηθός μου, σοὶ ψαλῶ,
ὅτι, ὁ θεός, ἀντιλήπτωρ μου εἶ, / [3]ὁ θεός μου, τὸ ἔλεός μου.

---

**58: 7.1** sic dividunt La$^{G}$ TSy **58: 8.2–9.1** ὅτι τίς ἤκουσεν] ad 9.1 trahunt B′ Sa La$^{G}$ 1219’, ad 8.2 Ga TSyHe **58: 10.2** ἀντιλήπτωρ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs **58: 13.1** ἁμαρτία … λόγος] R *L*Tht$^{p}$’ : ἁμαρτίαν … λόγον B’’ Ga Tht$^{p}$ 55 2010, ergo Rahlfs **58: 13.3** ἐν συντέλειᾳ] R *L* (etiam 267) 1219’ : συντέλειαι B’’ Sa Tht’Th, ergo Rahlfs **58: 15.1** sic dividunt La$^{G}$ TSy necnon R′ **17.2–3** ὅτι … μου] hos stichos sic distribuit, sed 17.2 ad 18.1 non iungit 267 **58: 17.3** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs **58: 18.2** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs

σύ δε θεὸς ὁ δυνατὸς τῶν Ἰσραὴλ ταγμάτων,
τὰς τῶν ἐθνῶν παρεμβολὰς ἐπίσκεψαι καὶ σῶσον. ‖126v
πλὴν τοὺς τὰ φαῦλα πράττοντας μὴ κατοικτείραις ὅλως·
ἑσπέρας ἐπιστρέψουσι, λιμώξουσι ὡς κύων
καὶ πόλιν ὠρυόμενοι κυκλώσουσιν ἐκεῖνοι.
ἰδοὺ τῷ στόματι τῷ σφῶν ἀφρόνως ἀπεροῦσιν,
ἐν δὲ τοῖς τούτων χείλησιν ἠκονημένον ξίφος·
ὅτιπερ ἤκουσεν οὐδείς, σύ δ' ἐκγελάσεις τούτους,
πάντα τὰ φῦλα τῶν ἐθνῶν ἐξουδενώσεις μόνος.
ἐγώ δε, σῶτερ μου, πρὸς σὲ φυλάξω μου τὸ κράτος·
σύ γαρ καθέστηκας ἐμὸς ἀρχῆθεν ἀντιλήπτωρ,
σύ μου θεός, ἡ κατ' αὐτὸν προφθάσει με χρηστότης·
οὗτος θεὸς καὶ τοῖς ἐχθροῖς δείξει με σεσωσμένον.
μὴ κτείνῃς τούτους παντελῶς, μήπως ἐκλάθωνταί σου,
πλὴν διασκόρπισον αὐτοὺς ὑπὸ τῇ σῇ δυνάμει
καὶ τούτους καταβίβασον ὡς ὑπερασπιστής μου.
ἔγκλημα στόματος αὐτοῖς ὁ τῶν χειλέων λόγος
καὶ συλληφθήτωσαν αὐτῶν ταῖς ὑπερηφανίαις,
οἳ καὶ συντελεσθήτωσαν ὡς ἐξ ἀρᾶς καὶ ψεύδους
καὶ μετ' ὀργῆς οἰχέσθωσαν, ὑπάρχοντες οὐκέτι·
γνώσονται γὰρ ὡς Ἰακὼβ ὁ πανσθενὴς δεσπόζει
καὶ τῶν περάτων – ὡς εἰπεῖν – ἁπάσης τῆς ἠπείρου.
ἑσπέρας ἐπιστρέψουσι, λιμώξουσιν ὡς κύων
καὶ πόλιν ὠρυόμενοι κυκλώσουσιν ἐκεῖνοι,
αὐτοί δε σκορπισθήσονται πρὸς τὴν δοθεῖσαν βρῶσιν,
ἂν δὲ καὶ κορεννύμενοι γογγύσωσι ἀθρόοι.
ἐγώ δε πάλιν ᾄσομαι τὸ κράτος σου, παντάναξ,
καὶ τὸ πρωὶ τερφθήσομαι κατὰ τοὺς οἰκτιρμούς σου·
σύ γαρ ἐμοὶ κρησφύγετος ὑπῆρξας, ἀντιλῆπτορ,
ἐπίκουρος ἐν θλίψεσι, τούτου ψαλῶ σοι χάριν·
σύ γαρ ἀντίληψις ἐμοὶ σὺ καὶ πηγαῖος οἶκτος.

**58.37** κρησφύγετος] κρησφύγετον LD

**LIX – Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυίδ, εἰς διδαχήν, 2 ὁπότε ἐνεπύρισεν τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σωβα, καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξεν τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας**

3 Ὁ θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς,
ὠργίσθης καὶ οἰκτίρησας ἡμᾶς.
4 συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν·
ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη.
5 ἔδειξας τῷ λαῷ σου σκληρά,
ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.
6 ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν
τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.
7 [διάψαλμα] ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου,
σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
8 ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ
Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω·
9 ἐμός ἐστιν Γαλαάδ, καὶ ἐμός ἐστιν Μανασσής,
καὶ Ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου, / [3]Ἰούδας βασιλεύς μου·
10 Μωὰβ λέβης τῆς ἐλπίδος μου,
ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου,
ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11 τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
12 οὐχὶ σύ, ὁ θεός, ὁ ἀπωσάμενος ἡμᾶς;
καὶ οὐκ ἐξελεύσῃ, ὁ θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.
13 δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· / [2]καὶ ματαία σωτηρία ἀνθρώπου.
14 ἐν δὲ τῷ θεῷ ποιήσομεν δύναμιν,
καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

**59: 9.1** Μανασσής] R GaAug *L′* (etiam 267) 1219’ : Μανασσή B′ La He$^{c}$, ergo Rahlfs **59: 11.2** τίς] Rahlfs, sed add. ἤ R *L′* (etiam 267) Su 1219’, cfr. MPs. 59.20 δέ

**59 – Εἰς τὸ τέλος· τοῖς ἀλλοιωθησομένοις ἔτι, εἰς στηλογραφίαν τῷ Δαυίδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ Συρίαν Ὀβὰλ καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τῇ φάρραγᾳ τῶν ἁλῶν, δώδεκα χιλιάδας**

Ἡμᾶς ἀπώσω, δέσποτα παντάναξ, καὶ καθεῖλες,
ὠργίσθης ἀλλ' ᾠκτείρησας τοὺς ἀπωσμένους πάλιν.
πᾶσαν τὴν γῆν συνέσεισας ταράξας τοὺς πυθμένας·
ἴασαι τὰ συντρίμματα τῆς ἤδη σαλευθείσης.
σκληρά τινα τῷ δήμῳ σου πειράζων κατειργάσω,
οἶνον ἐπότισας ἡμᾶς τὸν ἐν τῇ κατανύξει.
τοῖς μέντοι φοβουμένοις σε παρέσχες τι σημεῖον,
ὡς ἐξισχῦσαι καὶ φυγεῖν ἀπὸ προσώπου τόξου.
ὅπως ἄν, οὕσπερ ἀγαπᾷς, ῥυσθῶσι τοῦ κινδύνου,
ἐπάκουσον καὶ σῶσον με τῇ θαυμαστῇ χειρί σου.
λελάληκεν ὁ κύριος τῷ καθ' αὑτὸν ἁγίῳ·
τερφθήσομαι καὶ μεριῶ τὸ Σήκημα τοῦ γένους
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω πᾶσαν.
ἐμός ἐστιν ὁ Γαλαὰδ καὶ Μανασσῆς οὐ ξένος,
ἰσχὺς Ἐφραὶμ τῆς κεφαλῆς, Ἰούδας βασιλεύς μου,
Μωάβ δε τῆς ἐλπίδος μου τῆς καχλαζούσης λέβης,
ἀλλ' ἐκτενῶ τὸ πέδιλον ἐπὶ τὴν Ἰδουμαίαν·
ἐμοί γαρ ὑπετάγησαν ἀλλόφυλοι σατράπαι.
τίς οὖν ἀπάξει με λαβὼν εἰς πεφραγμένην πόλιν;
τίς δ' ἀπλανής μοι ποδηγὸς ἕως τῆς Ἰδουμαίας;
οὐ σὺ παντάναξ ὁ θεός, ὅστις ἡμᾶς ἀπώσω
κἀν ταῖς δυνάμεσιν ἡμῶν οὐκ ἐξελεύσῃ πάλιν;
δὸς ἀρωγὴν ἐκ θλίψεως· μάτην βροτός γαρ σώζει.
ἐν τῷ θεῷ ποιήσομεν ἰσχύν τινα βεβαίαν,
αὐτός δε τοὺς ἐκθλίβοντας ἡμᾶς ἐξουδενώσει.

**59** V (f. 126v) L (ff. 220rv) D (ff. 212rv)

**59 tit.** ὁ θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς add. LD : Mi.Ps. *Poem.* 1.175–191, 1.188 (ed. Westerink) in marg. ext. f. 212r D (vid. app. 1) **59.7** τι σημεῖον ] τὸ σημεῖον in textu, in marg γρ. τι V : τὰ σημεῖα LD **59.24** ποιήσομεν ] ποιήσομαι D

## LX – Εἰς τὸ τέλος, ἐν ὕμνοις· τῷ Δαυὶδ ψαλμός

2 Εἰσάκουσον, ὁ θεός, τῆς δεήσεώς μου, / [2]πρόσχες τῇ προσευχῇ μου.
3 ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα
ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου· / [3]ἐν πέτρᾳ ὕψωσάς με,
4 ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου,
πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ.
5 παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας,
σκεπασθήσομαι ἐν σκέπῃ τῶν πτερύγων σου.
6 [διάψαλμα] ὅτι σύ, ὁ θεός, εἰσήκουσας τῶν εὐχῶν μου,
ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.
7 ἡμέρας ἐφ’ ἡμέρας <τοῦ> βασιλέως προσθήσεις,
ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.
8 διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ·
ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει;
9 οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος
τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.

## LXI – Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοῦν· ψαλμὸς τῷ Δαυίδ

2 Οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου;
παρ’ αὐτοῦ γὰρ τὸ σωτήριόν μου·
3 καὶ γὰρ αὐτὸς θεός μου καὶ σωτήρ μου,
ἀντιλήπτωρ μου· οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.
4 ἕως πότε ἐπιτίθεσθε ἐπ’ ἄνθρωπον;
φονεύετε πάντες
ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.
5 πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, / [2]ἔδραμον ἐν δίψει,
τῷ στόματι αὐτῶν εὐλογοῦσαν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.
6 [διάψαλμα] πλὴν τῷ θεῷ ὑποτάγηθι, ἡ ψυχή μου,
ὅτι παρ’ αὐτοῦ ἡ ὑπομονή μου·
7 ὅτι αὐτὸς θεός μου καὶ σωτήρ μου,
ἀντιλήπτωρ μου· οὐ μὴ μεταναστεύσω.

---

**60 tit.** ψαλμός] add. post Δαυίδ $L^{pau}$ (etiam 267) **60: 3.2–3** unus stichus SyHe 55 necnon 267 **60: 7.1** τοῦ] add. *L′* (etiam 267) 1219 **61: 3.2** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs **61: 5.2** ἐν δίψει] B’’ R’’ Ga *L′* (etiam 267) 1219’ : ἐν ψεύδει Sa Sy, ergo Rahlfs **61: 7.2** ἀντιλήπτωρ] fort., ut in H.–P. et 267 : ἀντιλήμπτωρ Rahlfs

**60 – Εἰς τὸ τέλος, ἐν ὕμνοις· τῷ Δαυὶδ ψαλμός ‖[127r]**

Εἰσάκουσόν μου, κύριε, πρόσχες τῇ προσευχῇ μου·
πρὸς σέ γαρ ἀπὸ τῶν τῆς γῆς ἐκέκραξα περάτων,
ἀνύψωσας ἐν πέτρᾳ με ναρκώσης τῆς καρδίας.
ὡδήγησάς με συμπαθῶς ἐλπίς μοι χρηματίσας,
ἐκ δὲ προσώπου δυσμενοῦς πύργος ὀφθεὶς ἰσχύος.
εἰς τοὺς αἰῶνας ἐν τῇ σῇ σκηνώσει παροικήσω
καὶ σκεπασθήσομαι τῶν σῶν πτερύγων ἐν τῇ σκέπῃ·
ὅτιπερ σύ μου τῶν εὐχῶν εἰσήκουσας, παντάναξ,
ἔδωκας κλῆρον τοῖς τὴν σὴν αἰσχυνομένοις κλῆσιν.
ἡμέρας οὖν τῷ βασιλεῖ προσθήσεις ἐφ’ ἡμέρας,
τούτου δ’ ὁ βίος ἄπειρος εἰς γένος ἀπὸ γένους,
διαμενεῖ δε πρὸς θεοῦ μέχρι παντὸς αἰῶνος,
τίς τὴν ἀλήθειαν αὐτοῦ ζητήσει καὶ τὸν οἶκτον;
οὕτως ψαλῶ τῇ κλήσει σου μέχρι παντὸς αἰῶνος,
ὡς ἀποδοῦναι τὰς εὐχὰς ἡμέραν ἐξ ἡμέρας.

**61 – Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ Δαυίδ**

Ἆρ’ οὐχ ὑποίσεις τῷ θεῷ, ψυχή μου, πειθαρχῆσαι;
τὸ γὰρ ἐμὸν σωτήριον εὑρίσκω παρὰ τούτου.
αὐτός δε πόρρωθεν ἐστὶ θεός μου καὶ σωτήρ μου
καὶ τούτου με φυλάσσοντος οὐκ ἀθυμήσω πλέον.
πῶς ἐπιτίθεσθε βροτῷ μέχρις δὲ τίνος τόδε;
ἐστέ γαρ ἅπαντες ὑμεῖς λῃσταί τινες τὸν τρόπον,
ὡς ἐν φραγμῷ τινι σαθρῷ καὶ τοιχῷ κεκλιμένῳ.
πλὴν ἔσπευσάν μου τὴν τιμὴν ἀπώσασθαι διψῶντες,
ηὐλόγουν ἐν τῷ στόματι καὶ κρύφα κατηρῶντο.
πλὴν ἡ ψυχή μου τῷ θεῷ πειθάρχησον ἐμφρόνως·
τὸ γὰρ ἐμὸν καρτερικὸν ἐκ τούτου μοι τυγχάνει,
ἐπείπερ τοῦτον ἔσχηκα θεόν τε καὶ σωτῆρα
καὶ τούτου με φυλάσσοντος οὐ μὴ μεταναστεύσω.

**60** V (f. 126v–127r) L (ff. 220v–221r) D (f. 212v) **61** V (f. 127r) L (ff. 221rv) D (f. 212v)

**60 tit.** εἰς τέλος ψαλμὸς τῷ Δαυίδ· εἰσάκουσόν ὁ θεὸς τῆς δεήσεώς μου πρόσχες LD **61 tit.** εἰς τέλος τῷ Ἰδιθοὺμ ψαλμὸς τῷ Δαυίδ· οὐχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου LD

8 ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου·
ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ.
9 ἐλπίσατε ἐπ’ αὐτόν, πᾶσα συναγωγὴ λαοῦ·
ἐκχέετε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν·
ὁ θεὸς βοηθὸς ἡμῶν.
10 [διάψαλμα] πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων,
ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι
αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.
11 μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν
καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε·
πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.
12 ἅπαξ ἐλάλησεν ὁ θεός, δύο ταῦτα ἤκουσα,
13 ὅτι τὸ κράτος τοῦ θεοῦ, καὶ σοῦ, κύριε, τὸ ἔλεος,
ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

**LXII – Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας**

2 Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω·
ἐδίψησέν σοι ἡ ψυχή μου. / [3]ποσαπλῶς σοι ἡ σάρξ μου
ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ;
3 οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι
τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
4 ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς·
τὰ χείλη μου ἐπαινέσουσίν σε.
5 οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου,
ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
6 ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου,
καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
7 εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου,
ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ·

**61: 13.1** σοῦ ] B′ 55 necnon 267 : σοί $L^{pau}$ $He^{mg}$ *tibi* La Ga **62: 2.2–3** unus stichus Sa 55

ἐν τῷδε τὸ σωτήριον, ἐν τῷδε μοι τὸ κλέος·
οὗτος ἐμός τις βοηθός, ἐν τούτῳ γὰρ ἐλπίζω.
ὅμιλος ἅπας λαικός, ἐλπίσατε πρὸς τοῦτον,
τὰς ὑμετέρας ἐπ' αὐτὸν ἐκχέετε καρδίας·
ἡμῶν γαρ ἔστι βοηθὸς τῶν καταπονουμένων.
πλὴν μάταιοι καὶ τάλανες οἱ παῖδες τῶν ἀνθρώπων,
ψευδεῖς οἱ παῖδες τῶν βροτῶν ἐν στάθμαις ἀδικοῦντες
καὶ γὰρ ἐκ ματαιότητος πᾶς τις εἰς τοῦτον βλέπει.
ἐπ' ἀδικίαν μηδαμῶς ἐλπίζετε ματαίαν,
μὴ δ' ἅρπαγμα καὶ σπάραγμα ποθεῖτε παρανόμως·
πλοῦτος ἂν ῥέῃ, μηδαμῶς προστίθεσθε καρδίαν.
ἅπαξ ἐλάλησε θεός, ἤκουσα δύο ταῦτα·
ὅτι τὸ κράτος τοῦ θεοῦ, σοῦ δε τὸ σώζειν, σῶτερ·
σύ γαρ ἑκάστῳ κατ' αὐτὰς τὰς πράξεις ἀποδώσεις.

### 62 – Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας

Πρὸς σὲ τὸν παντοδύναμον ὀρθρίζω καὶ δεσπότην·
ἐδίψησά σε ποσαπλῶς ψυχῇ τε καὶ σαρκίῳ,
εἰς ἄβατον, εἰς ἔρημον ἄγευστον γῆν ὑδάτων.
οὕτως ἐγώ σοι καθαρῶς ἐκ τῶν ἁγνῶν ἐφάνην,
ὥστε σου βλέψαι τὴν ἰσχὺν καὶ τὸ πολύ σου κλέος.
ὑπὲρ ζωάς γαρ οἶδα σου τοὺς οἰκτιρμοὺς βελτίους,
τὰ χείλη μου κροτήσουσιν, ἅπερ αἰνέσουσί σε.
οὕτως ἐν τῷδε μου τῷ νῦν μεγαλυνῶ σε βίῳ,
ἀρῶ δ' ἐπὶ τῇ κλήσει σου τὰς χεῖρας ἱκετεύων.
καθάπερ ἐκ πιότητος καὶ στέατος πλησθείην
καὶ τερπομένοις χείλεσιν ὑμνήσει μου τὸ στόμα.
ἂν ἐμνημόνευον τῶν σῶν ἐν τῇ στρωμνῇ μου λόγων ‖[127v]
τάχ' ἂν εἰς σὲ τὸν πλαστουργὸν ὀρθρίζων ἐμελέτων·

---

**62** V (ff. 127rv) L (ff. 221v–222r) D (f. 213r) Vat (ff. 36v–37v)

---

**61.17** ὑμετέρας] ἡμετέρας D **62 tit.** ὁ θεὸς ὁ θεός μου πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σε add. LD : Mi.Ps. *Poem.* 1.193–194 (ed. Westerink) in marg. ext. add. D (vid. app. 1) : Mi.Ps. *Poem.* 54.756–762 (ed. Westerink) add. Vat, f. 36v (vid. app. 2) **62.2** ἐδίψησά σε] ἐδίψησού σε Vat **62.5** ὥστε] ὥς τέ Vat **62.6** οἶδα] οἶ Vat βελτίους] οἶ σου Vat **62.10** πιότητος] em. ex Ps., sic corr. D : ποιότητος VL : πειότητος Vat **62.12** ἄν] καὶ D ἐμνημόνευον … στρωμνῇ] ἐμνημόνεβον … στρομνῇ Vat

8 ὅτι ἐγενήθης βοηθός μου,
καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
9 ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου,
ἐμοῦ δ’ ἀντελάβετο ἡ δεξιά σου.
10 αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου,
εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς·
11 παραδοθήσονται εἰς χεῖρας ῥομφαίας,
μερίδες ἀλωπέκων ἔσονται.
12 ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ,
ἐπαινεσθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ,
ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

**LXIII – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ**

2 Εἰσάκουσον, ὁ θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με,
ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.
3 σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων,
ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν
4 οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν,
ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν
5 τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον,
ἐξάπινα κατατοξεύσουσιν αὐτὸν καὶ οὐ φοβηθήσονται.
6 ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν,
διηγήσαντο τοῦ κρύψαι παγίδας·
εἶπαν Τίς ὄψεται αὐτούς;
7 ἐξηρεύνησαν ἀνομίας, / [2]ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσει.
προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα,
8 καὶ ὑψωθήσεται ὁ θεός.
βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν,
9 καὶ ἐξησθένησαν ἐπ’ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν.
ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς,
10 καὶ ἐφοβήθη πᾶς ἄνθρωπος. / [2]καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ

**62: 9.2** δ’] Bo R$^{(vid.)}$ *L*’’ (etiam 267) **63: 3.1** σκέπασον] La$^{G}$ *L*’’ (etiam 267) 1219 : ἐσκέπασας S’B$^{s}$ Sa R′-Aug Ga 55, ergo Rahlfs **63: 3.2** ἀδικίαν] S’ *L*’’ (etiam 267) B$^{s}$ 55 : τὴν ἀνομίαν Sa R’’ Ga *L*$^{pau}$He, ergo Rahlfs **63: 7.1** ἀνομίας] plu. Sa R’ Ga Tht$^{p}$He$^{c}$, sing. B’’ La$^{R}$-Aug *L* (etiam 267) Tht$^{p}$’ 55, cfr. MPs. 63.12 τὸ κακουργεῖν **63: 10.1–2** unus stichus La$^{G}$ THe 1219’ necnon 267

γέγονας γὰρ ἐπίκουρος ἀμηχανήσαντί μοι
κἀντεῦθεν τῶν πτερύγων σου τερφθήσομαι τῇ σκέπῃ.
κεκόλληταί σου, δέσποτα, κατόπιν ἡ ψυχή μου,
ἡ χείρ σου δ’ ἀντελάβετο καὶ περισέσωκέ με.
ὅμως αὐτοί μου τὴν ψυχὴν ἐζήτησαν εἰς μάτην,
εἰς τοὺς ἐκτρίβοντας τῆς γῆς ἐλεύσονται πυθμένας,
εἰς χεῖρας ἐκδοθήσονται συλληπτικῆς ῥομφαίας,
ἔσονται δὲ παράβολοι μερίδες ἀλωπέκων.
ὁ βασιλεύς δε τοῦ θεοῦ τερφθήσεται τῷ κράτει,
ὀμνύς δε πᾶς τις ἐν αὐτῷ κέρδος εὑρήσει κρότων
καὶ γὰρ λαλούντων ἄδικα πᾶν ἐνεφράγη στόμα.

## 63 – Εἰς τέλος ψαλμὸς τῷ Δαυίδ

Εἰσάκουσόν μου τῆς φωνῆς, παντάναξ, λιπαροῦντος,
λύτρωσαι δέ μου τὴν ψυχὴν ἐκ φόβου τυραννοῦντος,
ἐκ συστροφῆς με σκέπασον τῶν πονηρευομένων
καὶ τῶν σπευδόντων ἀδικεῖν τοῦ κακοτρόπου σμήνους.
οἵτινες ὥσπερ μάχαιραν ἠκόνησαν τὰς γλώσσας,
τόξον ἐνέτειναν αὐτῶν πρᾶγμα πικρὸν ἐκτόπως,
ἐν ἀποκρύφοις ἄμωμον βουλεύμασι τοξεῦσαι.
ἐξάπινα τοξεύσουσι μὴ φοβηθέντες τοῦτον.
σφίσι δὲ λόγον πονηρὸν εἰργάσαντο γενναῖον,
ἠθέλησαν ὡς πονηροὶ παγίδα κατακρύψαι
καὶ καθ’ αὐτοὺς εἰρήκασι· «τίς ὄψεται τὸν δόλον;»
ἠρεύνησαν τὸ κακουργεῖν, παρῆλθον ἐρευνῶντες.
ἄνθρωπος προσελεύσεται καρδίᾳ βαθυτέρᾳ,
θεός δε μόνος ὑψωθεὶς ἐλέγξει τὴν ἀπάτην,
τούτων ὑπῆρξαν αἱ πληγαὶ βέλος ἀμβλὺ νηπίων,
ἐπὶ δὲ σφᾶς ἠσθένησαν αἱ γλῶσσαι τῶν ἀφρόνων.
πάντες οἱ βλέποντες αὐτοὺς ἐν ταραχῇ καὶ κλόνῳ
καὶ φοβηθέντες οἱ θνητοὶ κεκράγασι τὰ θεῖα

**63** V (f. 127v) L (ff. 222rv) D (f. 213r)

**62.19** πυθμένας] πυθμέας D Vat **62.20** συλληπτικῆς] συλληπτικοῖς D **63 tit.** εἰσάκουσον ὁ θεὸς φωνῆς μου ἐν τῷ δέεσθαί με add. L : εἰσάκουσον ὁ θεὸς φωνῆς μου ἐν τῷ δέεσταί (sic) με LD **63.1** παντάναξ] κύριε D **63.9** παντάναξ] εἰργάσας τὸ D

καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν.
11 εὐφρανθήσεται δίκαιος ἐπὶ τῷ κυρίῳ καὶ ἐλπιεῖ ἐπ’ αὐτόν,
καὶ ἐπαινεσθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

**LXIV – Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τῷ Δαυίδ· Ἰερεμίου καὶ Ἰεζεκιὴλ ἐκ τοῦ λόγου τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι**

2 Σοὶ πρέπει ὕμνος, ὁ θεός, ἐν Σιών,
καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.
3 εἰσάκουσον προσευχῆς μου· / [2]πρὸς σὲ πᾶσα σὰρξ ἥξει.
4 λόγοι ἀνομιῶν ὑπερεδυνάμωσαν ἡμᾶς,
καὶ τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ.
5 μακάριος ὃν ἐξελέξω καὶ προσελάβου·
κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.
πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου·
ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.
6 ἐπάκουσον ἡμῶν, ὁ θεὸς ὁ σωτὴρ ἡμῶν,
ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς / [3]καὶ ἐν θαλάσσῃ μακράν,
7 ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύι αὐτοῦ,
περιεζωσμένος ἐν δυναστείᾳ,
8 ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης,
ἤχους κυμάτων αὐτῆς.
ταραχθήσονται τὰ ἔθνη, / 9 καὶ φοβηθήσονται ¦
[1]οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου·
ἐξόδους πρωίας καὶ ἑσπέρας τέρψεις.
10 ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν,
ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν·
ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων·
ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία σου.
11 τοὺς αὔλακας αὐτῆς μέθυσον,
πλήθυνον τὰ γενήματα αὐτῆς,
ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

---

**64 tit.** ψαλμός … Δαυίδ] Sa R $L^{b}$’He (etiam 267) : ψαλμὸς τῷ Δαυιδ, ᾠδή Rahlfs **64: 3.1–2** duo stichi $La^{G}$ T, ergo Rahlfs, sed unus rel. codd. **64: 6.2–3** unus stichus S R’’ Ga He 1219’ necnon 267 **64: 8.3–9.1** sic dividunt $La^{G}$ Ga THe 55 : ταραχθήσονται … σου unum stichum praebent B′ Sa R′ 1219 necnon 267

καὶ τὰ ποιήματα θεοῦ συνῆκαν παραυτίκα.
ἐν τῷ κυρίῳ δίκαιος ἐλπίσει καὶ χαιρήσει,
οἱ δὲ τὸν τρόπον ἀγαθοὶ λήψονται μέγα κλέος.

Δόξα. Κάθισμα η΄

**64 – Εἰς τέλος ψαλμὸς ᾠδὴ τῷ Δαυίδ. ᾠδὴ Ἰερεμίου καὶ Ἰεζεκιὴλ τοῦ λόγου τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι**

Ὕμνος καὶ κρότος ἐν Σιὼν σοὶ τῷ δεσπότῃ πρέπει,
εὐχή δ' ἐν Ἰερυσαλὴμ ἀποδοθήσεταί σοι.
εἰσάκουσόν μου τῶν εὐχῶν, ἥξει σοι πᾶν σαρκίον.
ὑπερεκράτυναν ἡμᾶς ῥήσεις ἀνδρῶν ἀνόμων,
ἡμῶν δε τοῖς ἐγκλήμασι μόνος ἱλάσῃ κρίνων.
ὃν ἐξελέξω ζηλωτὸς καὶ προσελάβου, σῶτερ,
κατασκηνώσεις ἐν αὐλαῖς εὐσπλάγχνως ταῖς ἰδίαις.
σοῦ τῶν κατ' οἶκον ἀγαθῶν ἕξομεν πάντες κόρον,
ὁ δὲ ναός σου καθαρὸς καὶ θαυμαστὸς ἐν δίκῃ.
σῶτερ, ἐπάκουσον ἡμῶν, ὁ μόνος παντοκράτωρ,
πάντων ἐλπὶς τῶν ἐν τῇ γῇ καὶ τῶν ἐν τῇ θαλάσσῃ,
κατασκευάζων τοὺς βουνοὺς τῇ κατ' αὐτὸν ἰσχύι
καὶ δυναστείᾳ φοβερᾷ τὸ κράτος ἐζωσμένος.
ὁ συνταράσσων καὶ δονῶν τὸ τῆς θαλάσσης κύτος,
τίς ταύτης ὑποστήσεται τοὺς ἤχους τῶν κυμάτων;
καὶ ταραχθήσονται φυλαὶ καὶ φοβηθήσονταί σε
ἕνεκεν τῶν σημείων σου τὴν γῆν οἱ κατοικοῦντες.
τέρψεις ἐξόδους, ὁ θεὸς, ἑσπέρας καὶ πρωΐας,
ἐπισκεψάμενος τὴν γῆν ἐμέθυσας ὑψόθεν,
ἐλίπανας, ἐπλήθυνας, ὥστε πλουτίσαι ταύτην.
ὁ τοῦ θεοῦ δὲ ποταμὸς ὑδάτων ἐπληρώθη,
τούτοις ὑπέθου τὴν τροφὴν ὡς ἐν ἑτοιμασίᾳ.
μέθυσον δὴ τὰς αὔλακας ἁπάσης τῆς ἠπείρου, ‖[128r]
πλήθυνον τὰ γεννήματα καὶ τοὺς καρποὺς ἀφθόνως,
ἀνίσχουσα τερφθήσεται σταγόσι ταῖς ἰδίαις.

**64** V (ff. 127v–128r) L (ff. 222v–223r) D (ff. 213rv)

**64 tit.** σοὶ πρέπει ὕμνος ὁ θεὸς ἐν Σιών add. LD : Mi.Ps. *Poem.* 1.195–201 (ed. Westerink) in marg. ext. f. 213r D (vid. app. 1) **64.12** κατασκευάζων] κατασκευάζους s.l. -ων D

12 εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου,
καὶ τὰ πεδία σου πλησθήσονται πιότητος·
13 πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου,
καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.
14 ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων,
καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον·
κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

## LXV – Εἰς τὸ τέλος· ᾠδὴ ψαλμοῦ· ἀναστάσεως

Ἀλαλάξατε τῷ κυρίῳ, πᾶσα ἡ γῆ,
2 ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ,
δότε δόξαν αἰνέσει αὐτοῦ.
3 εἴπατε τῷ θεῷ Ὡς φοβερὰ τὰ ἔργα σου·
ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου·
4 πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι,
ψαλάτωσαν τῷ ὀνόματί σου, <ὕψιστε>.
5 [διάψαλμα] δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ·
<ὡς> φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων,
6 ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν,
ἐν ποταμῷ διελεύσονται ποδί.
ἐκεῖ εὐφρανθησόμεθα ἐπ’ αὐτῷ,
7 τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος·
οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν,
οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.
8 [διάψαλμα] εὐλογεῖτε, ἔθνη, τὸν θεὸν ἡμῶν
καὶ ἀκουτίσασθε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ,
9 τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωὴν
καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.
10 ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ θεός,
ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον·
11 εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα,

**65: 1.2** κυρίῳ] *L*Tht$^{p}$ (etiam 267 non Hec) : θεῷ Rahlfs **65: 4.2** ὕψιστε] add. Sa La *L*’’ (etiam 267)
**65: 5.2** ὡς] add. La$^{G}$ *L*’’ (etiam 267) 1219 **65: 8.2** ἀκουτίσασθε] B′ 55 : ἀκουτίσατε R *L*’’ (etiam 267)

ἔτους τῆς σῆς χρηστότητος τὸ στέφος εὐλόγησεις,
πλησθήσεται πιότητος αὐτά σου τὰ πεδία
καὶ τὰ κατὰ τὴν ἔρημον ἀνθήσουσιν ὡραῖα
καὶ περιζώσονται βουνοὶ χλιδῶσαν θυμηδίαν·
τῶν γὰρ προβάτων οἱ κριοὶ τρίχας προσφάτους ἔσχον.
αἱ δὲ κοιλάδες πανταχοῦ τὸν σῖτον πληθυνοῦσι,
πάντες δ᾽ ὁμοῦ κεκράξονται κροτοῦντες τὸν δεσπότην.

## 65 – Εἰς τὸ τέλος ᾠδὴ ψαλμὸς ἀναστάσεως

Ἀλαλαγμὸν προσάξατε, γῆ πᾶσα, τῷ κυρίῳ,
ψάλατε δὴ τῇ κατ᾽ αὐτὸν ὑπερκοσμίῳ κλήσει,
δότε τὴν αἴνεσιν αὐτοῦ μετὰ λαμπρὰς εὐκλείας·
«ὡς φοβερά σου» φθέγξασθε τῷ κτίστῃ «τὰ πρακτέα.
οἱ δυσμενεῖς σε ψεύσονται πλήθει τῆς σῆς ἰσχύος.
ἡ γῆ προσκυνησάτω σοι, πάντες ψαλάτωσάν σοι,
ὕψιστε, σοὶ ψαλάτωσαν καὶ τῇ φρικτῇ σου κλήσει.»
δεῦτε καὶ βλέψατε θεοῦ τὰ θαυμαστὰ πρακτέα·
ὡς φοβερὸς ἐν ταῖς βουλαῖς ὑπὲρ ἀνθρώπων παῖδες.
ὁ μεταστρέφων εἰς ξηρὰν τὴν τῆς θαλάττης χύσιν,
ἐν ποταμῷ πορεύσονται μετὰ ποδὸς ἀβρόχου
κἀκεῖ σε τερφθησόμεθα τῷ τοῦ δεσπότου κράτει.
ὃς τῇ δυνάμει τῆς χειρὸς δεσπόζει τῶν αἰώνων,
οὗπερ αἱ κόραι τῶν ἐθνῶν τὰς ἀγωγὰς ὁρῶσιν.
οἱ δὲ παραπικραίνοντες φρονείτωσαν μετρίως.
ἔθνη, τὸν μόνον παντουργὸν ὑμνεῖτε καὶ κροτεῖτε
καὶ τούτου παραπέμψατε τῇ κτίσει τοὺς ἐπαίνους·
ἔθετο γάρ μου τὴν ψυχὴν εἰς ὑφεστῶτα βίον,
ἀσυμπαθῶς μὴ δεδωκὼς εἰς σάλον μου τοὺς πόδας.
ἡμᾶς ἐν εἴδει πειρασμῶν ἐφάνης δοκιμάσας,
ἐπύρωσας ὡς ἄργυρον χωνεύσας φιλανθρώπως
κἀν τῇ παγίδι τῶν κακῶν εἰσήγαγες τοὺς δούλους,

**65** V (f. 128r) L (ff. 223v–224r) D (ff. 213rv)

**64.27** πιότητος] em. ex Ps., cfr. MPs. 62.10 : ποιότητος VLD **64.29** περιζώσονται] περισώζονται D **65 tit.** ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ· ψάλατε δὴ τῷ ὀνόματι add. LD : Mi.Ps. *Poem.* 1.202–204 (ed. Westerink) in marg. ext. f. 213v D (vid. app. 1) **65.10** χύσιν] φύσιν D **65.13** τῶν αἰώνων] τὸν αἰώναν D

ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.
12 ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν,
διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
13 εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν,
ἀποδώσω σοι τὰς εὐχάς μου, / 14 ἃς διέστειλεν τὰ χείλη μου
καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ θλίψει μου·
15 ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι / [2]μετὰ θυμιάματος καὶ κριῶν,
ἀνοίσω σοι βόας μετὰ χιμάρων.
16 [διάψαλμα] δεῦτε ἀκούσατε καὶ διηγήσομαι <ὑμῖν> ,
πάντες οἱ φοβούμενοι τὸν θεόν,
ὅσα ἐποίησεν τῇ ψυχῇ μου.
17 πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα / [2]καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου
18 Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου,
μὴ εἰσακουσάτω κύριος.
19 διὰ τοῦτο εἰσήκουσέν μου ὁ θεός, / [2]προσέσχεν τῇ φωνῇ τῆς δεήσεώς μου.
20 εὐλογητὸς ὁ θεός, ὃς οὐκ ἀπέστησεν τὴν προσευχήν μου
καὶ τὸ ἔλεος αὐτοῦ ἀπ’ ἐμοῦ.

## LXVIII – Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τῷ Δαυίδ <ψαλμός>

2 Σῶσόν με, ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.
3 ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις·
ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, ¦
[2]καὶ καταιγὶς κατεπόντισέν με.
4 ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου,
ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν ἐπὶ τὸν θεόν μου.
5 ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν,
ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως·
ἃ οὐχ ἥρπασα, τότε ἀπετίννυον.
6 ὁ θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου,
καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν.
7 μὴ αἰσχυνθείησαν ἐπ’ ἐμὲ ¦

---

**65: 13.2–14.1** unus stichus in codd., duo in Rahlfs **65: 15.1–2** unus stichus B′R necnon 267 **65: 15.3** ἀνοίσω] Bo Sa R” Ga *L*” (etiam 267) 55 : ποιήσω B′, ergo Rahlfs **65: 16.1** ὑμῖν] add. Bo Sa R” *L*” (etiam 267) 1219 **65: 17.1–2** stichos iungit 267 **68** ψαλμός] $L^{pau}$ (etiam 267) **68: 7.1** ἐπ’ ἐμέ] R *L*′ (etiam 267) 55 : ἐπ’ ἐμοί B′ $L^{pau}$, ergo Rahlfs

ἐπὶ τὸν νῶτον τὸν ἡμῶν θλίψεις ἀρρήτους ἔθου.
εἰς τὰς ἡμῶν δὲ κεφαλὰς ἀνήγαγες ἀνθρώπους,
διήλθομεν διὰ πυρός, ἠνέχθημεν εἰς ὕδωρ,
ἡμᾶς δε πρὸς ἀναψυχὴν ἐξήγαγες ἀθρόους.
φοιτήσω πρὸς τὸν οἶκον σου καὶ θύσω σοι προσφόρως,
ἐκτίσω δέ σοι τὰς εὐχάς, ἃς εἶπε μου τὰ χείλη
κἀν ταῖς πολλαῖς μου θλίψεσιν ἐλάλησε τὸ στόμα.
ἀνοίσω θύματα κριῶν ὡς μεμυελωμένα,
προσθήσω δὲ τῷ πλαστουργῷ μετὰ χιμάρρων βόας.
δεῦτε λοιπὸν ἀκούσατε καὶ τὰ θαμβοῦντα φράσω
πᾶσιν ὑμῖν τοῖς τὸν θεὸν ἐμφρόνως φοβουμένοις,
ἃ τῇ ψυχῇ μου πέπραχε καὶ κατειργάσατό μοι.
ἐκέκραξα τῷ στόματι γλῶτταν ὑψώσας τούτῳ.
εἴπερ ἐσκόπει τὸ κακὸν ἡ κατ᾽ ἐμὲ καρδία,
μηδόλως ἀκουσάτω μου τῶν λόγων ὁ δεσπότης,
ὅθεν εἰσήκουσε θεός, προσέσχε τῇ φωνῇ μου,
εὐλογητὸς ὁ κυριός, ὃς οὐκ ἀπέστησέ μου
τῶν οἰκτιρμῶν τὴν πρόσχυσιν μετὰ τῆς προσευχῆς μου.

## 68 – Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιθησομένων τῷ Δαυὶδ ψαλμός

Σῶσον με, σῶτερ, τὴν ψυχὴν ὑδάτων μοι κυκλοῦντων·
εἰς γὰρ ἰλὺν οὐκ ἔχουσαν ὑπόστασιν ἐπάγην
κἀντεῦθεν ἦλθον εἰς αὐτὰ τὰ τῆς θαλάσσης βάθη,
τῆς καταποντιζούσης με λυττώσης καταιγίδος.
κέκμηκα κράζων ἀφειδῶς, νενόσηκεν ὁ λάρυγξ.
ἐλπίζων ἐπὶ τὸν θεόν, νῦν οὐδὲ βλέπειν οἶμαι. ‖128v
οἱ δυσμενεῖς τῆς κεφαλῆς νικῶσι μοι τὰς τρίχας,
οἱ προῖκα με διώκοντες ἔσχον οὐ φαῦλον σθένος,
ἅπερ οὐδόλως ἤλπιζον ἐκείνοις ἀπεδίδουν.
σὺ παντοκράτορ, ἔγνως μου τὴν ἀφροσύνην μόνος,
ἐκ σοῦ δ᾽ οὐκ ἀπεκρύβησαν τὰ πλημμελῆ κατά μου.
μηδόλως αἰσχυθείησαν ἐπὶ τὸν σὸν οἰκέτην

**68** V (ff 128r–129r) L (ff. 224r–225v) D (ff. 214v–215r)

**68 tit.** εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιθησομένων ψαλμὸς τῷ Δαυίδ· σῶσον με ὁ θεὸς ὅτι εἰσήλθωσαν LD
**68.1** σῶσον … σῶτερ] σῶτερ με σῶσον D

[1]οἱ ὑπομένοντές σε, ¦
[1]κύριε [κύριε] τῶν δυνάμεων,
μηδὲ ἐντραπείησαν ἐπ’ ἐμοὶ οἱ ζητοῦντές σε, ὁ θεὸς τοῦ Ἰσραήλ,
8 ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν,
ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.
9 ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου
καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου,
10 ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέν με,
καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ’ ἐμέ.
11 καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν μου,
καὶ ἐγενήθη εἰς ὀνειδισμὸν ἐμοί·
12 καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον,
καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν.
13 κατ’ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις,
καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον.
14 ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, κύριε· / [2]καιρὸς εὐδοκίας ¦
[2]ὁ θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου· / [3]ἐπάκουσόν μου ¦
[3]ἐν ἀληθείᾳ τῆς σωτηρίας σου / 15 σῶσόν με ¦
[1]ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ·
ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων·
16 μή με καταποντισάτω καταιγὶς ὕδατος,
μηδὲ καταπιέτω με βυθός,
μηδὲ συσχέτω ἐπ’ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.
17 εἰσάκουσόν μου, κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου·
κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ’ ἐμέ.
18 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου / [2]ἀπὸ τοῦ παιδός σου,
ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου.
19 πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν,
ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με.
20 σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου / [2]καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου·
ἐναντίον σου πάντες οἱ θλίβοντές με.
21 ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν,

---

**68: 7.1** κύριε[2] ] om. B et Sa$^{L}$ **68: 7.2** μηδὲ] *L′* (etiam 267, non He) 55 : μή Rahlfs ἐπ’ ἐμοί] ἐπ’ ἐμέ obtestatur 267 **68: 13.1** ἐν πύλαις] Bo Sa *L″* (etiam 267) 55 : ἐν πύλῃ B′ R″ Ga **68: 14.1–15.1** similiter distribuit 267, ubi tamen 14.2 καιρὸς εὐδοκίας stichus singularis et ἐν ἀληθείᾳ … ἐμπαγῶ unus stichus sunt, cfr. etiam SyHe, qui distributionem καιρός … θεός – ἐν τῷ πλήθει … ἐπάκουσόν μου – ἐν ἀληθείᾳ … τῆς σωτηρίας σου praebent, sed nulla mentio de unione 14.3 cum 15.1 in apparatu Rahlfs referta est **68: 15.2** ἐκ τῶν βαθέων] *L* (etiam 267), *profundis* Ga : τοῦ βάθους Rahlfs **68: 18.1–2** sic praebet 267 **68: 20.1–2** sic praebet 267

οἱ περιπίπτοντες δεινοῖς, ἀλλ’ ὑπομένοντές σε,
ὁ τῶν δυνάμεων θεὸς καὶ τοῦ παντὸς δεσπότης,
μὴ δ’ οἱ ζητοῦντες Ἰσραὴλ ὡς κτίστην ἐντραπεῖεν·
ἕνεκα γάρ σου καὶ σαφοῦς ὀνείδους ἠνεσχόμην,
ἐμοῦ δε κατακάλυψε τὸ πρόσωπον αἰσχύνη.
ὑπῆρξα μου τοῖς ἀδελφοῖς ἀπηλλοτριωμένος
καὶ τῆς μητρός μου τοῖς υἱοῖς, ὥσπερ οἱ νόθοι, ξένος·
καὶ γὰρ ὁ τῆς οἰκίας σου κατέφαγέ με ζῆλος,
αἱ δὲ κραυγαὶ τῶν ὑβριστῶν ἐπιπεπτώκασί μοι
κἀντεῦθεν συνεκάλυψα νηστείᾳ τὴν ψυχήν μου,
ὀνειδισμός δε γέγονα κατ’ ἐμαυτοῦ καὶ χλεύη.
ἤμειψα δέ μου τὴν στολὴν σάκκον αὐτὴν ἐκφήνας,
ὑπῆρξα δὲ παραβολὴ τοῖς ἐπεμβαίνουσί μοι.
οἱ δ’ ἐν ταῖς πύλαις ἐπ’ ἐμὲ συλλήβδην ἠδολέσχουν,
οἱ δὲ τὸν οἶνον πίνοντες ὑβρίζοντες ἐλύπουν.
ἐγώ δ’ ἄν, σῶτερ, εὐδοκῆς τὰς προσευχὰς ἀνοίσω,
ἐπάκουσόν μου τῷ πολλῷ τῶν οἰκτιρμῶν σου πλήθει.
ἐν ἀληθείᾳ δε τῆς σῆς ῥῦσαι με σωτηρίας,
ἀπὸ πηλοῦ καὶ τέλματος, μήπως αὐτοῖς ἐμπέσω,
ῥυσθείην τῶν μισούντων με καὶ τοῦ τῶν ῥείθρων βάθους.
μὴ καταποντισάτω με συναγωγὴ ῥευμάτων,
μὴ δὲ καταπιέτω με βυθός τις ὑπομβρίας,
μὴ δέ τι φρέαρ χαλεπὸν συσχέτω μοι τὸ στόμα.
ὡς ἐλεήμων καὶ χρηστός, σῶτερ, εἰσάκουσόν μου,
ἐπίβλεψόν με κατ’ αὐτὸ τῶν οἰκτιρμῶν τὸ πλῆθος,
μηδόλως ἀπὸ τοῦ παιδὸς τὰς ὄψεις ἀποστρέψῃς·
θλίβομαι γὰρ ἐπάκουσον ταχέως μου τῶν λόγων
καὶ πρόσχες δή μου τῇ ψυχῇ καὶ λύτρωσαι κινδύνων.
ἕνεκα δέ μου τῶν ἐχθρῶν ῥῦσαι με, παντοκράτορ·
σύ γαρ γινώσκεις τὴν ἐμὴν ὥσπερ οὐδεὶς αἰσχύνην,
πρὸ τῶν ὀμμάτων δὲ τῶν σῶν πάντες οἱ θλίβοντές με.
ὄνειδος προσεδόκησε καὶ σπάνιν ἡ ψυχή μου.

**68.20** κατέφαγε] κατέφλεγη L : κατέφλε D

καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξεν,
καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.
22 καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν / [2]καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.
23 γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα
καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον·
24 σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν,
καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον·
25 ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου,
καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.
26 γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη,
καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·
27 ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν,
καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυματιῶν σου προσέθηκαν.
28 πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν,
καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου·
29 ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων
καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.
30 πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ, / [2]καὶ ἡ σωτηρία τοῦ προσώπου σου, ὁ θεός, ἀντελάβετό μου.
31 αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ μετ' ᾠδῆς,
μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει,
32 καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον
κέρατα ἐκφέροντα καὶ ὁπλάς.
33 ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν·
ἐκζητήσατε τὸν θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν,
34 ὅτι εἰσήκουσεν τῶν πενήτων ὁ κύριος
καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
35 αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ,
θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.
36 ὅτι ὁ θεὸς σώσει τὴν Σιών, / [2]καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας,
καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν·
37 καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν,
καὶ οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

---

**68: 30.2** καί[2] ] fort. om. Philes ut R[s]' Ga *L*'' (etiam 267) 55   τοῦ προσώπου σου ] fort. simpliciter σου legit Philes ut R[s]' Ga *L*[p] (etiam 267)   **68: 35.2** ἐν αὐτῇ ] Bo Sa *L*'' (etiam 267) 55 : ἐν αὐτοῖς BS[s]-2042 R''

ἐζήτουν συλλυπούμενον, ἀλλ’ ὅμως οὐχ ὑπῆρξε,
παρακαλοῦντας, ἀλλὰ μὴν οὐχ εὗρον οὐδὲ τούτους.
ἔδωκαν βρῶσιν μοι χολήν, ὄξος δ’ ἐπότισάν με.
γενέσθω τούτοις θήρατρον ἡ τράπεζα παγίδος,
εἰς ἀνταπόδοσιν δεινὴν εἰς ἀφορμὴν σκανδάλου
καὶ σκοτισθήτωσαν αὐτῶν τὰ βλέφαρα μὴ βλέπειν,
σύγκαμψον τούτων ἄνωθεν ὡς ἀκαμπῆ τὸν νῶτον.
ὄμβρισον χύδην ἐπ’ αὐτοὺς τὸ τῆς ὀργῆς σου σθένος,
ὁ δὲ θυμός σου τῆς ὀργῆς ἐκείνους καταλάβοι.
δεῖξον αὐτῶν ὡς δυνατὸς ἐρήμους τὰς ἐπαύλεις,
μηδείς δε τούτων ταῖς σκηναῖς οἰκήτωρ ὑπαρχέτω·
ὃν γὰρ αὐτὸς ἐπάταξας, ἐλύπησαν ἀφρόνως,
τῷδ’ ἀλγητῶν τραυμάτων μου προσέθηκαν ἄλλό τι.
πρόσθες ἀνόμημα δεινὸν τῇ τούτων ἀνομίᾳ
κἀν τῇ δικαιοσύνῃ σου τούτων μηδεὶς εἰσίτω.
ἐξαλειφθήτωσαν κοινῇ τῆς βίβλου τῆς τῶν ζώντων
καὶ μηδαμῶς γραφήτωσαν μετὰ τῶν μακαρίων.
ἀλγῶν ἐγὼ πτωχός εἰμι, σῶζε με, σὺ παντάναξ,
αἰνέσω τοὔνομα θεοῦ μετὰ λαμπρῶν ᾀσμάτων
καὶ τῇ κατ’ αἴνεσιν αὐτὸν μεγαλυνῶ συνθήκῃ· ‖[129r]
ἀρέσει δὲ τῷ κτίσαντι μόσχου προσφάτου πλέον,
ὁπλάς τινας ἐκφέροντος τὴν φύσιν κερασφόρου.
ἀθρήσαντες οἱ πένητες τερφθήτωσαν ἀθρόοι,
τὸν πλαστουργὸν ζητήσατε καὶ ζήσεσθε κοσμίως·
τῶν γὰρ πενήτων ἤκουσεν ὡς τεταπεινωμένων,
οὐδὲ γὰρ ἐξουδένωσε τοὺς ἑαυτοῦ δεσμώτας.
γῆ τε καὶ πάντες οὐρανοὶ κροτείτωσαν τὸν κτίστην
καὶ θάλασσα καὶ σύμπαντα τὰ βυθοδρόμα ζῶα.
θεός γαρ σώσει τὴν Σιὼν μετὰ τῆς Ἰουδαίας
καὶ κατοικήσουσιν ἐκεῖ κληρονομούντων δίκην
καὶ ταύτην καταλήψονται τῶν δούλων σου τὸ σπέρμα
ἐν ταύτῃ δὲ σκηνώσουσιν οἱ σὲ πεποθηκότες.

Δόξα. Κάθισμα θʹ

**68.47** βρῶσιν] βρῶσι L : βρώσει D **68.51** σύγκαμψον] σύγκαψον LD **68.57** ἀλγητῶν] em. : ἀλγειτῶν V **68.65** ἀρέσει] ἀρέσαντι LD δέ … κτίσαντι] δέ γε τούτῳ LD **68.67** ἀθρήσαντες] ἀθροίσαντες D **68.73** μετά … Ἰουδαίας] καὶ τὰς κυκλόθεν πόλεις in textu et in marg. γρ. μετὰ τῆς Ἰουδαίας V : μετὰ τῆς Ἰουδαίας LD **68.76** οἱ] εἰς LD

## LXX – Τῷ Δαυίδ· υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, <ἀνεπίγραφος παρ᾽ Ἑβραίοις>

Ἐπὶ σοί, κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
2 ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με,
κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με.
3 γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν
καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με,
ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ.
4 ὁ θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ,
ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·
5 ὅτι σὺ εἶ ἡ ὑπομονή μου, κύριε·
κύριος ἡ ἐλπίς μου ἐκ νεότητός μου.
6 ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός,
ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής·
ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός.
7 ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς, / $^{2}$καὶ σὺ βοηθὸς κραταιός.
8 πληρωθήτω τὸ στόμα μου αἰνέσεως,
ὅπως ὑμνήσω τὴν δόξαν σου,
ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.
9 μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως,
ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.
10 ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ / $^{2}$καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ¦
$^{2}$ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ / 11 λέγοντες Ὁ θεὸς ἐγκατέλιπεν αὐτόν·
καταδιώξατε καὶ καταλάβετε αὐτόν, / $^{3}$ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.
12 ὁ θεός, μὴ μακρύνῃς ἀπ᾽ ἐμοῦ·
ὁ θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες.
13 αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου,
περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.
14 ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ <ἐπὶ σέ>
καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.

**70 tit.** ἀνεπίγραφος παρ’ Ἑβραίοις] add. La$^{R}$ *L′* **70: 1.2** ἐπί … κύριε] S Ga *L″* (etiam 267) 1219’ **70: 5.2** κύριος] B’ (ergo Rahlfs), sed cfr. κύριε S R′Aug Ga *L′* (etiam 267) 1219’ **70: 6.1** ἀπὸ γαστρός] add. μάτρας R **70: 9.1** γήρως] S *L*$^{a\prime}$ (etiam 267) : γήρους B R *L*$^{b}$He*S$^{c}$ 1219’ **70: 10.2–11.1** καὶ … μου et ἐβουλεύσαντο … αὐτό sic dividunt Ga 1219, sed ἐβουλεύσαντο … αὐτό ad 11.1 λέγοντες … αὐτόν trahunt tantum B R′ : 11.1 ad 10.2 trahunt Sa 55, sed sine divisione inter καὶ … μου et ἐβουλεύσαντο … αὐτό **70: 11.2–3** sic dividunt Sa He 55 **70: 14.1** ἐπὶ σέ] add. La$^{R}$ *L″* (etiam 267) 1219’

## 70 – Τῷ Δαυὶδ ψαλμὸς τῶν υἱῶν Ἰωναδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων, ἀνεπίγραφος παρ᾽ Ἑβραίοις

Εἰς σέ, παντάναξ, ἤλπισα καὶ μὴ καταισχυνθείην.
ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαι με δὴ καὶ σῶσον,
τὰ δ’ ὦτα πρός με κλῖνον σου καὶ σύνες φιλανθρώπως.
γενοῦ θεός μου βοηθός, ὑπερασπίζων σύ μου,
ὡς εἰς κρησφύγετον στερρὸν οἰκτεῖραι με καὶ σῶσαι,
ὅτι μου σὺ στερέωμα, σὺ καὶ καταφυγή μου.
ῥῦσαι με τοίνυν ἐκ χειρὸς ἁμαρτωλοῦ σὸν δοῦλον,
παρανομοῦντος ἐκ χειρὸς καὶ πράττοντος ἀδίκως·
σύ γαρ ἐμὴ καθέστηκας ὑπομονή, παντάναξ,
ἐλπίς μου καὶ κραταίωσις ἐξ ἁπαλῶν ὀνύχων.
ἐπεστηρίχθην σοι πιστῶς ἀπὸ γαστρὸς μητρῴας,
σύ δε πλατύς μοι σκεπαστὴς ἀπὸ θηλῆς καὶ χνόης,
διαπαντὸς τὴν ὕμνησιν εἰς σέ μου καταρτίζω.
τέρας ὑπῆρξα τοῖς πολλοῖς, σύ δ’ ἀρωγὸς ἀκμαῖος,
αἰνέσεως τὸ στόμα μου καὶ κρότων πληρωθήτω,
ὅπως ὑμνήσω τὸ λαμπρὸν καὶ θαυμαστόν σου κλέος
καὶ τὴν μεγαλοπρέπειαν καθ’ ὅλην τὴν ἡμέραν.
μηδόλως ἀπορρίψῃς με πρὸς τὸν τοῦ γήρως χρόνον,
ἐν τῷ χαυνοῦσθαι τὴν ἰσχὺν μηδόλως με παρήσῃς·
οἱ δυσμενεῖς γὰρ εἶπον μοι καὶ τῆς ψυχῆς οἱ κύνες
ἐν ὁμονοίᾳ λέγοντες· «τόνδε θεὸς μεθῆκε.
διώξαντες, κατάσχετε· ποῦ γαρ ὁ σώζων τοῦτον;»
ἀλλ’ ὁ δεσπότης ἀπ’ ἐμοῦ καὶ κτίστης μὴ μακρύνῃς,
εἰς τὴν ἐμὴν βοήθειαν ἐπείχθητι προφθάσας.
οἱ τὴν ψυχὴν λυποῦντες μοι φθαρήτωσαν αἰσχύνῃ
περιβαλέσθω δ’ ἐντροπήν ὃς τὰ κακά μοι θέλει.
ἐγώ δε σοῦ τὰς ἀγαθὰς ἐλπίδας ἐξαρτήσω
καὶ πᾶσαν σοι τὴν αἴνεσιν μετὰ προσθήκης οἴσω

**70** V (ff. 129rv) L (f. 225v–227r) D (ff. 215rv)

**70 tit.** ἐπὶ σοὶ κύριε ἔλπισα μὴ καταισυνθείην εἰς τὸν αἰῶνα add. LD : Mi.Ps. *Poem.* 1.208–213 (ed. Westerink) in marg. ext. f. 215r D (vid. app. 1) **70.1–5** εἰς σέ … σῶσαι] cfr. Rhoby, Epigramme auf Stein, Nr. GR20 u. app. **70.7** σόν] τόν LD **70.18** γήρως] γήρους LD **70.21** μεθῆκε] ἀφῆκε in textu, s.l. γρ.(scil. γράφεται) μεθῆκε V **70.22** κατάσχετε] κατάσχεται D **70.27** ἐξαρτήσω] ἐξαρτίσω D

15 τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου,
ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου,
ὅτι οὐκ ἔγνων γραμματείας. / 16 εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου·
κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.
17 ἃ ἐδίδαξάς με ὁ θεός ἐκ νεότητός μου,
καὶ μέχρι <τοῦ> νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου.
18 καὶ ἕως γήρους καὶ πρεσβείου, ¦
[1]ὁ θεός, μὴ ἐγκαταλίπῃς με,
ἕως ἂν ἀπαγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ,
τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου. / 19 [ὁ θεός], ἕως <τῶν> ὑψίστων ¦
[1]ἃ ἐποίησας μεγαλεῖα· / [2]ὁ θεός, τίς ὅμοιός σοι;
20 ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς,
καὶ ἐπιστρέψας ἐζωοποίησάς με
καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.
21 ἐπλεόνασας τὴν ἐπ’ ἐμὲ μεγαλωσύνην σου
καὶ ἐπιστρέψας παρεκάλεσάς με
<καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με>.
22 καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι <ἐν λαοῖς, κύριε> ¦
[1]ἐν σκεύει ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ θεός·
ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ.
23 ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλλω σοι,
καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. / 24 ἔτι δὲ καὶ ἡ γλῶσσα μου ¦
[1]ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου,
ὅταν αἰσχυνθῶσιν καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.

## LXXI – Εἰς Σολομὼν <ψαλμός>

Ὁ θεός, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς

---

**70: 15.1** ἐξαγγελεῖ] B R 1219’, sed cfr. ἀγγελεῖ S *L*’’ (etiam 267) **70: 15.3–16.1** unus stichus La$^{G}$ 55 necnon 267 **70: 17.1** ἅ … με] 55, cfr. ὁ θεός ἃ ἐδίδαξάς με *L*’’ (etiam 267) : ἐδίδαξάς με ὁ θεός B’’ R′, ergo Rahlfs **70: 17.2** τοῦ] add. plurimi codd. (vid. apparatum H.–P.) necnon 267 **70: 18.1** nulla mentio de hac partitione in duo stichos, sed cfr. R’’ Ga qui textus 18.1–2 in tres stichos praebent (καί … πρεσβείου, ὁ θεός … με ad 18.2 ἕως … σου tractus, πάσῃ … ἐρχομένῃ) **70: 18.3–19.2** sic dividunt S Sa La$^{G}$ Ga He necnon 267 **70: 19.1** ὁ θεός] om. 267 et alii codd. (vid. apparatum H.–P.) τῶν] add. *L*′ et fort. Sy **70: 21.1** ἐπ’ ἐμέ] Sa R′ *L*’’ (etiam 267) 1219 **70: 21.3** καί … με B’ R’’ *L*’’ 1219’ praebent : om. S Sa Ga et textus masoreticus (ergo Rahlfs) **70: 22.1–2** sic dividunt La$^{G}$ SyHe 1219 **70: 22.1** ἐγώ] om. etiam B’ et 223 **70: 22.1** ἐν … κύριε] add. Sa La *L*’’ (etiam 267) **70: 22.2** sic nonnulli codd. et item 267, et post 70: 22.3 ψαλῶ σοι praebet B La$^{G}$ **70: 23.1** ψάλλω] sic praebet 267 : ψάλω Rahlfs **71 tit.** Σολομών] Ga $L^{pau\prime}$ : Σαλομών B $L^{pau}$ He, ergo Rahlfs ψαλμός] add. R’’(non Aug) $L^{b}$ (etiam 267)

καὶ τὴν δικαιοσύνην σου λαλήσει μου τὸ στόμα
καὶ τὴν ἡμέραν ἅπασαν ἣν δίδως σωτηρίαν
καὶ γραμματείας ἀγνοῶν ἥξω θεοῦ δυνάμει.
μόνου δὲ σοῦ τῆς θέμιδος μνησθήσομαι, παντάναξ.
ἅπερ ἐδίδαξας αὐτός, ὄντα με βρέφος ἔτι,
μέχρι τουνῦν ἀπαγγελῶ περιφανῆ πρακτέα.
καὶ μέχρι γήρως λιπαροῦ καὶ περιττοῦ πρεσβείου,
μὴ γοῦν ἐγκαταλίπῃς με τὸν δοῦλον, παντοκράτορ,
ἕως ἂν εἴποιμι τὸ σὸν τοῖς ὀψιγόνοις κράτος
καὶ τὴν δικαιοσύνην σου τὴν ἕως τῶν ὑψίστων.
τίς ὅμοιός σοι κατ’ αὐτὰ τὰ πρός με πεπραγμένα;
ὅσας μοι θλίψεις ἔδειξας πολλάς τε καὶ δυσκόλους,
ἀλλ’ ἐπιστρέψας παρευθὺς ἐζωοποίησάς με
καὶ πάλιν ἐπανήγαγες ἐκ τῶν τῆς γῆς ἀβύσσων
καὶ τὴν μεγαλωσύνην σου πολλήν μοι κατειργάσω
κἀν τοῖς δεινοῖς με συμπαθῶς παρακαλῶν ἐφάνης ‖[129v]
καὶ τῶν πυθμένων με τῆς γῆς ἀναγαγὼν εὑρέθης.
ἐν τοῖς λαοῖς σοι, παντουργέ, λαμπρῶς εὐχαριστήσω,
λαλήσω δέ σου τἀληθὲς ἐν σκεύεσιν ᾀσμάτων,
κροτήσω δὲ κιθάρᾳ σε τὸν Ἰσραὴλ δεσπότην.
ἡνίκα δέ σοι ψάλλωσι, χαιρήσει μου τὰ χείλη,
ἡ δὲ ψυχὴ καὶ γλῶσσα μου, σύ γαρ αὐτὰς ἐρρύσω,
εἰς πάντα φθέγξονται καιρὸν τὴν ἀγαθότητά σου,
ἂν οἱ ζητοῦντες μοι κακὰ λαμβάνωσιν αἰσχύνην.

## 71 – Εἰς Σολομὼν ψαλμός

Δὸς ὡς θεὸς τὸ κρῖμα σου τῷ βασιλεῖ, παντάναξ,

**71** V (f. 129v) L (ff. 227rv) D (ff. 215v–216r)

**70.49** ψάλλωσι] ψάλλω σοι D **71 tit.** Σολομών sic V : εἰς Σολομῶνα ψαλμός· ὁ θεὸς τὸ κρῖμά σου τῷ βασιλεῖ δός LD : Mi.Ps. *Poem.* 1.214–215 (ed. Westerink) in marg. ext. f. 215v D (vid. app. 1)

καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως
2 κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ
καὶ τοὺς πτωχούς σου ἐν κρίσει.
3 ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ [σου] / $^{2}$καὶ οἱ βουνοὶ δικαιοσύνην.
4 κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ / $^{2}$καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων
καὶ ταπεινώσει συκοφάντην / 5 καὶ συμπαραμενεῖ τῷ ἡλίῳ
καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν
6 καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον
καὶ ὡσεὶ σταγὼν στάζουσα ἐπὶ τὴν γῆν.
7 ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη
καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.
8 καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης
καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.
9 ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες,
καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν·
10 βασιλεῖς Θαρσεῖς καὶ αἱ νῆσοι δῶρα προσοίσουσιν,
βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν·
11 καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς <τῆς γῆς>,
πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.
12 ὅτι ἐρρύσατο πτωχὸν ἐκ χειρὸς δυνάστου
καὶ πένητα, ᾧ οὐχ ὑπῆρχεν βοηθός·
13 φείσεται πτωχοῦ καὶ πένητος / $^{2}$καὶ ψυχὰς πενήτων σώσει·
14 ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν,
καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.
15 καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας,
καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός,
ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν.
16 ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ’ ἄκρων τῶν ὀρέων·
ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ,
καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.
17 ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας,
πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ·

**71: 3.1–2** unus stichus in B’’ R’’, sed hii codd. ἐν δικαιοσύνῃ ad stichum 4.1 iungunt **71: 3.1** σου] om. nonnulli codd. (vid. apparatum H.–P.) necnon 267 **71: 3.2** δικαιοσύνην] Sa GaAug *L’’* (etiam 267) 1219’ : ἐν δικαιοσύνῃ B’’ La$^{G}$Aug$^{var}$, ergo Rahlfs **71: 4.1–2** sic praebet 267 **71: 6.2** σταγὼν στάζουσα] *L’’* (etiam 267) : σταγόνες στάζουσαι B’’ R’’ Ga TSy$^{mg}$He 1219’ Tert., ergo Rahlfs **71: 10.1** Θαρσεῖς] om. nonnulli codd. (vid. apparatum H.–P.) necnon 267 : Θαρσίς H.–P. et Rahlfs **71: 11.1** τῆς γῆς] add. S R’’ Vulg *L’’*-Su (etiam 267) 1219’ **71: 13.1–2** sic praebet 267 **71: 17.1** ἔσται] Sa R’ *L’* 1219’ : ἔστω B’’ La$^{G}$Aug Ga He$^{c}$ Tert., ergo Rahlfs

καὶ τὴν δικαιοσύνην σου τῷ βασιλέως γόνῳ,
ὥστε σου κρίνειν τὸν λαὸν μετὰ δικαιοσύνης
καὶ τοὺς πτωχοὺς καὶ ταπεινοὺς ἐν ἰσορρόπῳ κρίσει.
ἐν ὄρεσιν εἰρήνη τις, ἐν δὲ βουνοῖς ἡ θέμις,
κρινεῖ τοῦ δήμου τοὺς πτωχοὺς καὶ σώσει τοὺς ἀπόρους
καὶ συκοφάντας ταπεινῶν συνέσται τῷ φωσφόρῳ
καὶ πρὶν γενέσθαι γενεὰν ἐκ γένους τῇ σελήνῃ.
ἥξει καθάπερ ὄμβρος τις ὑψόθεν ἐπὶ πόκον,
ὡς δὲ σταγὼν ἐπὶ τῆς γῆς ἡ στάζουσα φανεῖται.
ἀνατελεῖ τὸ δίκαιον ἐν ταῖς ἡμέραις τούτου
καὶ σύμβασις εἰρηνικὴ μέχρι σελήνης τέλους.
ἀπὸ θαλάσσης δὲ πολλῆς ἕως θαλάσσης ἄρξει
καὶ ποταμῶν καὶ τῶν τῆς γῆς ἀνθέξεται περάτων.
πεσοῦνται δὲ πρὸ τῶν ποδῶν Αἰθίοπες τῶν τούτου,
οἱ δὲ πρὸς τοῦτον δυσμενεῖς λείξουσι χοῦν ἀθλίως.
δῶρα προσοίσουσι Θαρσεῖς οἱ βασιλεῖς καὶ νῆσοι,
Ἀρράβων δῶρα καὶ Σαββὰ προσάξουσι δεσπόται
καὶ προσκυνήσουσιν αὐτῷ πάντα τῆς γῆς τὰ κράτη,
πάντα δουλεύσουσιν αὐτῷ τὰ τῶν ἐκ φύλων γένη·
καὶ γὰρ ἐξήρπασε πτωχὸν δυνάστου κακοτρόπου
καὶ πένητα πολύμοχθον, ᾧπερ οὐκ ἦν προστάτης.
πτωχὸν καὶ πένητα φιλῶν σώσει ψυχὰς ἀπόρων.
ῥύσεται τούτων τὰς ψυχὰς ἐξ ἁρπαγῆς καὶ τόκου
καὶ κτήσεται παρὰ παντὸς τὴν κλῆσιν τιμωμένην
καὶ ζήσεται καὶ λήψεται χρυσὸν ἐξ Ἀρραβίας.
προσεύξονται δ’ ὑπὲρ αὐτοῦ μέχρι παντὸς ἐκεῖνοι
καὶ τοῦτον εὐλογήσουσι καθ’ ὅλην τὴν ἡμέραν.
ἔσται δὲ βάθρον εἰς τὴν γῆν ἐπ’ ἄκρων τῶν ὀρέων,
τούτου καὶ μᾶλλον ὁ καρπὸς ἀρθήσεται Λιβάνου,
ἐκ πόλεως ἀνθήσουσιν ὥσπερ τῆς γῆς ὁ χόρτος.
ἡ τούτου κλῆσις ἐν παντὶ δεδοξασμένη τόπῳ,
διαμενεῖ δε τοὔνομα τὸ τούτου πρὸ φωσφόρου.

**71.9–10** invertit D **71.19** πάντα … κράτη] τὰ τῶν ἐκ φύλων γένη D **71.20–21** invertit D **71.22** προστάτης] πρὸς τούτι D **71.26** ζήσεται καὶ λήψεται] λήψεται καὶ ζήσεται D **71.31** χόρτος] κρότος D

καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς,
πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.
18 Εὐλογητὸς κύριος [ὁ θεὸς] ὁ θεὸς Ἰσραὴλ ¦
[1]ὁ ποιῶν θαυμάσια μόνος,
19 καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ ¦
[1]εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. / [3]γένοιτο γένοιτο.

## LXXII – Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί. Ψαλμὸς τῷ Ἀσάφ

Ὡς ἀγαθὸς ὁ θεὸς τῷ Ἰσραὴλ / [3]τοῖς εὐθέσι τῇ καρδίᾳ.
2 ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες,
παρ’ ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου.
3 ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις / [2]εἰρήνην ἁμαρτωλῶν θεωρῶν,
4 ὅτι οὐκ ἔστιν ἀνάνευσις τῷ θανάτῳ αὐτῶν
καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν·
5 ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶν / [2]καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.
6 διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία <εἰς τέλος>,
περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν αὐτῶν.
7 ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν
διήλθοσαν εἰς διάθεσιν καρδίας·
8 διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ,
ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν·
9 ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν,
καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.
10 διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα,
καὶ ἡμέραι πλήρεις εὑρεθήσονται αὐτοῖς.
11 καὶ εἶπαν Πῶς ἔγνω ὁ θεός, / [2]καὶ εἰ ἔστιν γνῶσις ἐν τῷ ὑψίστῳ;
12 ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες· / [2]εἰς τὸν αἰῶνα κατέσχον πλούτου.
13 καὶ εἶπα Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου
καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου·

**71: 18.1** ὁ θεός[1] ] add. Sa GaHi (ergo Rahlfs), sed om. rel. codd. **71: 18.1** sic dividunt $La^{G}$ Sy 55 necnon 267 **71: 19.1** sic R’’ TSy 55 **71: 19.2–3** unus stichus R’’ Ga TSyHe 1219’ necnon 267 **72 tit.** ἐξέλιπον … Ἰεσσαί ] in titulo Ps. 72 praebent omnes codd., sed in Rahlfs ut Ps. 71: 20.1 apparet **72: 1.1–2** duo stichi in Ga et Sy (ergo Rahlfs), unus rel. codd. **72: 1.1** ὁ … Ἰσραήλ *L′* (etiam 267) 1219 et codd. MPs. LD in titulo : ὁ θεὸς τοῦ Ἰσραήλ R $L^{pau}$T : ἀγαθὸς τῷ Ἰσραὴλ ὁ θεὸς B′ Sy 55 Ga, ergo Rahlfs **72: 3.1–2** unus stichus B′ Sa R′ 55 **72: 6.1** εἰς τέλος ] add. *L′* (etiam 267, non He) 1219 **72: 12.1** εὐθηνοῦντες ] R’’ Ga *L’’* (etiam 267) : εὐθηνοῦνται B′-2039 1219’, ergo Rahlfs

τῷδ’ ἐνευλογηθήσονται πάντα κοινῇ τὰ γένη,
τὰ δ’ ἔθνη πάντα σύμφωνα μακαριοῦσι τοῦτον.
εὐλογητὸς ὁ κύριος τῶν Ἰσραὴλ ταγμάτων,
ὁ μόνος ἐργαζόμενος τὰ θαυμαστὰ πρακτέα,
εὐλογημένον τοὔνομα τῆς κατ’ αὐτὸν εὐκλείας,
μέχρι παντὸς τοῦ μέλλοντος αἰῶνος τῶν αἰώνων,
οὗπερ τῆς δόξης γένοιτο πᾶσαν τὴν γῆν πλησθῆναι.

## 72 – Ἐξέλιπον οἱ ὕμνοι Δαυὶδ τοῦ υἱοῦ Ἰεσσαί, ψαλμὸς τῷ Ἀσάφ

Ὡς ἀγαθὸς τὸν Ἰσραὴλ ὁ πλάσας τοῖς εὐθέσιν·
ἐμοῦ γαρ ἐσαλεύθησαν παραμικρὸν οἱ πόδες
καὶ παρολίγον κέχυται τὰ διαβήματά μου·
ζῆλον γὰρ ἔσχον θεωρῶν ἁμαρτωλῶν εἰρήνην,
οὐκ ἔστι γὰρ ἀνάνευσις ἐν τῷ θανάτῳ τούτων,
ἐν δὲ τῇ μάστιγι τῇ σφῶν ἐρηρεισμένη βάσις,
βροτῶν ἐν κόποις οὐκ εἰσίν, οὓς μάστιξ οὐ λυπήσει.
ὅθεν ἐκράτησεν αὐτοὺς εἰς τέλος ἡ κακία, ‖130r
ἀπάτην ἠμφιάσαντο μετὰ τῆς ἀδικίας.
ὥσπερ ἐκ στέατος ἡ σφῶν πορεύσεται φαυλότης,
εἰς βδελυρὰν διάθεσιν διήλθοσαν καρδίας.
ἐφθέγξαντο τὰ πονηρὰ σκεψάμενοι τὰ χείρω,
ἐλάλησεν ὡς ἄφρονες εἰς ὕψος ἀδικίαν,
εἰς οὐρανὸν κομπάζοντες ἔθεντο σφῶν τὸ στὸμα,
τὴν γλῶσσαν δὲ τὴν ἑαυτῶν ἐπὶ τῆς γῆς ἀφῆκας.
ὅθεν ὁ δῆμος ἐπ’ ἐμὲ σωφρόνως ἐπιστρέψει
καὶ πλήρεις εὑρεθήσονται τούτοις εὐθὺς ἡμέραι·
«πῶς» εἶπον «ἔγνωκε θεὸς καὶ τίς ἐν τούτῳ γνῶσις;»
ἰδοὺ πληθὺς ἁμαρτωλῶν εὐθηνουμένη πλούτῳ.
εἶπα δ’ «ὡς μάτην σέσωκα τὴν ἐμαυτοῦ καρδίαν
ἐφάνην δὲ νιψάμενος τὰς χεῖρας ἐν ἀθῴοις

**72** V (ff. 129v–130r) L (ff. 227v–228v) D (ff. 216rv)

**72 tit.** ὡς ἀγαθὸς ὁ θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ add. LD : Mi.Ps. *Poem.* 1.216–219 (ed. Westerink) in marg. ext. et commentaria in marg. f. 216r D (vid. app. 1) **72.7** κόποις] κόλποις D

14 καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν,
καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωίας.
15 εἰ ἔλεγον Διηγήσομαι οὕτως,
ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκα. / 16 καὶ ὑπέλαβον τοῦ γνῶναι· ¦
[1]τοῦτο / [2]κόπος ἐστὶν ἐναντίον μου,
17 ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ
καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.
18 πλὴν διὰ τὰς δολιότητας <αὐτῶν> ἔθου αὐτοῖς <κακά>,
κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
19 πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα·
ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν.
20 ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου,
κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.
21 ὅτι ἐξεκαύθη ἡ καρδία μου, / [2]καὶ οἱ νεφροί μου ἠλλοιώθησαν,
22 καὶ ἐγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων,
κτηνώδης ἐγενόμην παρὰ σοί. / 23 καὶ ἐγὼ διὰ παντὸς μετὰ σοῦ,
ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου,
24 ἐν τῇ βουλῇ σου ὡδήγησάς με / καὶ μετὰ δόξης προσελάβου με.
25 τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ,
καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
26 ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου,
ὁ θεὸς τῆς καρδίας μου καὶ ἡ μερίς μου ὁ θεὸς εἰς τὸν αἰῶνα.
27 ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται,
ἐξωλέθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.
28 ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστιν,
τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου
τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου
ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.

## LXXIII – Συνέσεως τῷ Ἀσάφ

Ἵνα τί ἀπώσω, ὁ θεός, εἰς τέλος,
ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;

---

**72: 16.1–2** τοῦτο κόπος] sic praebent codd., ad 16.1 τοῦτο traxit Rahlfs **72: 18.1** αὐτῶν] add. $Bo^{p}$ R *L*'' (etiam 267) 1219' κακά] add. *L*'' (etiam 267) 1219' **72: 21.1–2** duo stichi in S et Ga, sed unus rel. codd.

καὶ μεμαστίγωμαι δεινῶς καθ’ ὅλην τῆν ἡμέραν,
ὁ δ’ ἔλεγχος ὀρθρίζων μοι συνέσται παραχρῆμα.»
ἂν οὕτως ἔλεγον «ὡς ἦν τοὺς λόγους ἀπαγγεῖλαι»,
ἰδοὺ τῶν παίδων τῇ φυλῇ ταῦτ’ ἐνομίσθη γνῶναι
καὶ τοῦτο κόπος τίς ἐστι πρὸ τῶν ἐμῶν ὀμμάτων,
ἕως ἂν εἰς τὸ τέμενος ἐλεύσωμαι τὸ θεῖον
καὶ βλέψω τούτων συνετῶς τὸν τελευταῖον βίον.
πλὴν ἔθου τούτοις τὰ κακὰ μεμισηκὼς τὸν δόλον,
αὐτούς δε καταβέβληκας ἐν τῷ δεινῶς κομπάσαι.
πῶς ἄρα γέγονεν αὐτοῖς ἐρήμωσις ἐξαίφνης·
ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν.
ὡς γρηγοροῦντος ὄνειρον μετὰ τὸ καθευδῆσαι,
τῇ πόλει σου τὸν κατ’ αὐτοὺς ἐξουδενώσεις τύπον.
ἐκαύθην γάρ μου τὴν ψυχὴν καὶ τοὺς νεφροὺς ἐτράπην,
ἐγώ δ’ οὐκ ἔγνων τὸ λυποῦν ὡς ἐξουδενωμένος,
κτηνώδης σοι γεγένημα, πλὴν ἀλλὰ σύνειμί σοι.
ἐκράτησάς μου τῆς χειρὸς οὐχὶ τῆς εὐωνύμου,
ὡδήγησάς με τῇ βουλῇ καὶ δόξῃ προσελάβου.
τί γαρ ἐμοὶ πρὸς οὐρανὸν ὑπάρχει, παντοκράτορ;
τί δε τεθέληκα τῇ γῇ παρὰ τῆς σῆς ἰσχύος;
ἐξέλιπε τὸ σῶμα μου, παρῆλθεν ἡ καρδία,
σύ δε θεός μου τῆς ψυχῆς, ἡ δὲ μερὶς ἐν σοί μου.
οἵ σοῦ δε μακρυνόμενοι συλλήβδην ἀπολοῦνται,
ἠφάνισας ἀπὸ σαυτοῦ πάντα πορνείας φίλον.
ἐμοί δε τὸ τῷ κτίσαντι κολλᾶσθαι τῶν εἰκότων
καὶ τὴν ἐλπίδα τίθεσθαι πρὸς τοῦτον τῆς καρδίας,
ὥστε σου πάσας τὰς λαμπρὰς αἰνέσεις ἐξαγγεῖλαι,
ἐν πύλαις ταῖς τῆς θυγατρὸς Σιὼν τῆς τρισολβίας.

## 73 – Συνέσεως τῷ Ἀσάφ

Ἕνεκα τίνος ὁ θεὸς εἰς τέλος ἀπεσείσω,
ἔδειξας δὲ τὸ θυμικὸν εἰς πρόβατα νομῆς σου;

**73** V (ff. 130rv) L (ff. 228v–229v) D (f. 216v)

**72.22** μεμαστίγωμαι] μεμαστίγομαι D **72.36** ἔγνων] ἔγνω D **72.40** παντοκράτορ] παντοκράτωρ D **72.41** δε] γάρ D **72.45** ἠφάνισας] ἐφανίσας LD **73 tit.** ἵνα τί ἀπώσω εἰς τέλος ὠργίσθη add. LD

2 μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ’ ἀρχῆς·
ἐλυτρώσω ῥάβδῳ κληρονομίαν σου,
ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
3 ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος,
ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου.
4 καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου,
ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.
5 ὡς εἰς τὴν ἔξοδον ὑπεράνω,
6 ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς,
ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν.
7 ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου,
εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.
8 εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό
Δεῦτε καὶ κατακαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θεοῦ ἀπὸ τῆς γῆς.
9 τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν,
οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.
10 ἕως πότε, ὁ θεός, ὀνειδιεῖ ὁ ἐχθρός,
παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;
11 ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου / [2]καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;
12 ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος,
εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
13 σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν,
σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.
14 σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος,
ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν.
15 σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους,
σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ.
16 σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ,
σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον.
17 σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς·
θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά· / 18 μνήσθητι ταύτης. ¦

---

**73: 2.2** ῥάβδῳ κληρονομίαν] $L^{d}$ : ῥάβδον κληρονομίας rel. codd. (etiam 267), ergo Rahlfs **73: 3.2** ἐν τοῖς ἁγίοις] B’’ Sa R’’ SyHe 1219’ : ἐν τῷ ἁγίῳ GaHi *L*′ (etiam 267) **73: 5.1** ἔξοδον] *L*’’ (om. 267), *egressum* Aug. *exitu* Ga : εἴσοδον B’ Sa R’’ 55, ergo Rahlfs **73: 8.1** εἶπον] $L^{d}$ (etiam 267) T 1219 : εἶπαν B′ R $L^{d}$′He 55, ergo Rahlfs αἱ συγγένειαι] *L*’’, *cognationes eorum* $L^{R}$ (etiam 267) : ἡ συγγένεια, *cognatio eorum* B’’(Bo add. *tota*) Sa R GaAug $He^{mg}$ 1219’, ergo Rahlfs **73: 9.1** αὐτῶν] Sa *L*’’ (etiam 267) : ἡμῶν B’’ R’’ Ga 1219’, ergo Rahlfs **73: 11.1–2** unus stichus S THe necnon 267 **73: 11.2** καί … σου] om. S **73: 14.1** τὴν κεφαλήν] S La *L* (etiam 267) 55 : τὰς κεφαλάς $B^{s}$’ Sa R GaHi Tht’, ergo Rahlfs **73: 17.1** ὡραῖα] $L^{d}$ (etiam 267) : ὅρια Rahlfs **73: 18.1** μνήσθητι ταύτης] ad 17.2 trahunt B′ THe necnon 267, stichus singularis in Ga

μνήσθητι τῆς συναγωγῆς, ἧς ἀπαρχῆς ἐκτήσω
καὶ ῥάβδῳ τῆς ἰσχύος σου τὸν κλῆρον ἐλυτρώσω,
καὶ τοῦτο δὴ τὸ τῆς Σιών ὃ κατειλήφεις ὄρος.
ἔπαρον δὴ τὰς χεῖρας σου πρὸς τὸν ἐκείνων τύφον,
ὅσα κακῶς ὁ δυσμενὴς ἐπονηρεύσατό σοι.
καὶ πάντες οἱ μισοῦντες σε τῆς ἑορτῆς ἐν μέσῳ
ἔθεντο δὲ μὴ γνόντες σοι τὰ τέρατα σημεῖα.
ὡς ὑπεράνω τῆς κοινῆς ἐξόδου τῶν ἀνθρώπων,
ἐξέκοψαν ὡς ἐν δρυμῷ θύρας αὐτῆς ἀξίναις,
ὁμοῦ δε ταύτην ἐγκοπῇ καθεῖλον καὶ πελέκει.
τὸ σὸν δὲ τέμενος πυρὶ κατέσπασαν ἀκμαίῳ,
ὡς ἄφρονες τῆς δόξης σου τὸν οἶκον βεβηλοῦντες,
πάντες εἰρήκασιν ὁμοῦ καὶ κατὰ συγγενείας·
«δεῦτε καὶ καταπαύσωμεν τὰς ἑορτὰς ἁπάσας.» ‖130v
τούτων οὐκ εἴδομεν ἡμεῖς οὐδόλως τὰ σημεῖα,
ἡμᾶς δ’ οὐ γνώσεται λοιπόν, ὃς οὐ προφήτης ἔτι.
πλὴν μέχρι τίνος, ὁ θεός, ὁ δυσμενὴς ὑβρίσει,
ὁ δ’ ἐναντίος σου λυττῶν παροξυνεῖ τὴν κλῆσιν;
ἐν μέσῳ δὲ τοῦ κόλπου σου τί στρέφεις σου τὴν χεῖρα;
ὁ δὲ θεὸς πρὸ τοῦ παντὸς αἰῶνος παντοκράτωρ,
ὅστις εἰργάσατο τῆς γῆς ἐν μέσῳ σωτηρίαν.
σὺ θαυμαστὴν τῷ κράτει σου τὴν θάλασσαν εἰργάσω,
σὺ τῶν δρακόντων τῆς ὑγρᾶς συνέτριψας τὰς κάρας.
σὺ κεφαλὴν συνέθλασας ἐν χέρσῳ δρακοντείαν
λαοῖς δε τοῖς Αἰθίοψιν ἔδωκας τοῦτον βρῶμα.
σὺ καὶ πηγὰς διέρρηξας ἀφθόνους καὶ χειμάρρους,
τοὺς ποταμούς δε τοὺς Ἠθὰμ ἐξήρανας ἀθρόους.
σὺ τῆς ἡμέρας βασιλεὺς καὶ τῆς νυκτὸς δεσπότης,
σὺ κατηρτίσω τεχνικῶς καὶ φαῦσιν καὶ φωσφόρον,
σύ δε καὶ πάντα τὰ τῆς γῆς ὡραῖα κατηρτίσω,
ἔαρ καὶ θέρος ἔργα σοι· μνήσθητι ταύτης πάλιν.

**73.12** ὁμοῦ] ἐμοῦ LD **73.14** σου] om. LD **73.26** δρακοντείαν] δρακουντείας D

[1]ἐχθρὸς ὠνείδισεν τὸν κύριον <τῆς κτίσεως σου>,
καὶ λαὸς ἄφρων παρώξυνεν τὸ ὄνομά σου.
19 μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι,
τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος.
20 ἐπίβλεψον εἰς τὴν διαθήκην σου,
ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν.
21 μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος·
πτωχὸς καὶ πένης αἰνέσουσιν τὸ ὄνομά σου.
22 ἀνάστα, ὁ θεός, δίκασον τὴν δίκην σου·
μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν.
23 μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου·
ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντὸς πρὸς σέ.

### LXXIV – Εἰς τὸ τέλος· μὴ διαφθείρῃς· ψαλμὸς τῷ Ἀσὰφ ᾠδῆς

2 Ἐξομολογησόμεθά σοι, ὁ θεός, / [2]ἐξομολογησόμεθά <σοι>
καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.
3 διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ¦
[1]ὅταν λάβω καιρόν· / [2]ἐγὼ εὐθύτητας κρινῶ.
4 ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ,
ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.
5 εἶπα τοῖς παρανομοῦσιν Μὴ παρανομεῖτε,
καὶ τοῖς ἁμαρτάνουσιν Μὴ ὑψοῦτε κέρας, / 6 μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν,
μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν.
7 ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν / [2]οὔτε ἀπὸ ἐρήμων ὀρέων,
8 ὅτι ὁ θεὸς κριτής ἐστιν,
τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ.
9 ὅτι ποτήριον ἐν χειρὶ κυρίου
οἴνου ἀκράτου πλῆρες κεράσματος,
καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, / [4]πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη,
πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.
10 ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα,
ψαλῶ τῷ θεῷ Ἰακώβ·

---

**73: 18.1** τῆς κτίσεως σου] add. B’ Sa R’’ **74: 2.1–2** sic dividunt S R′ SyHe 1219 **74: 2.2** σοι] add. S’ Sa R′ Aug *L’’* (etiam 267) **74: 3.1** ὅταν … καιρόν] ad 3.2 trahunt La$^{G}$Aug Ga The 1219’ necnon 267 : ad 3.1 B′ Sa R’’ Tht’ **74: 7.1–2** sic in S Sa R’’ necnon 267 **74: 9.3–4** sic in B

ὁ δυσμενὴς ὠνείδισε τὸν κτίστην καὶ δεσπότην,
ὄχλος δὲ σοῦ μὴ συνετὸς παρῶξυνε τὴν κλῆσιν.
θηρσὶ ψυχὴν μὴ παραδῷς ἐξομολογουμένην,
μὴ λάβῃς λήθην τῶν ψυχῶν τῶν πενιχρῶν εἰς τέλος.
ἐπίβλεψον εἰς τὴν ἡμῖν δοθεῖσαν διαθήκην·
οἱ γὰρ τυφλοὶ πεπλήρωνται κατοίκους ἀνομίας.
μηδεὶς στραφήτω ταπεινὸς μὴ δὲ κατῃσχυμένος,
πτωχὸς καὶ πένης ὕμνοις σου κροτήσουσι τὴν κλῆσιν.
ἀνάστα, σῶτερ, δίκασον τὴν δίκην σου τὴν θείαν,
μνήσθητι τῶν ὀνειδισμῶν τοῦ φαύλου καθημέρας,
τῶν ἱκετῶν σου τῆς φωνῆς μηδόλως ἐπιλάθῃ,
ὁ τύφος τῶν μισοῦντων σε μέχρι παντὸς ἀνέβη.

Δόξα

**74 – Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Ἀσὰφ ψαλμὸς ᾠδῆς**

Ἐξομολογησόμηθα καὶ καυχησόμεθά σοι,
τὴν σὴν ἐπικαλέσασθαι, σῶτερ, ποθοῦντες κλῆσιν.
πάντα σου τὰ θαυμάσια λαλήσω τοῖς ἀνθρώποις,
κρινῶ δε σὺν εὐθύτητι καιρόν τινα λαμβάνων.
ἐτάκη γῆ καὶ σύμπαντες οἱ ταύτην κατοικοῦντες·
ἐγώ γαρ ταύτης ἀσφαλῶς ὑπήρεισα τοὺς στύλους.
εἶπα τοῖς πράττουσι κακά· «μὴ, μὴ παρανομεῖτε»,
καὶ τοῖς ἐξαμαρτάνουσι· «τὸ κέρας μὴ σοβεῖτε,
λαλεῖτε δὲ κατὰ θεοῦ μηδόλως ἀδικίαν»
οὐ γὰρ ἐξόδων καὶ δυσμῶν οὐδ’ ἀπὸ τῶν ἐρήμων,
ὅτι κριτής ἐστιν αὐτὸς τῆς ὅλης οἰκουμένης,
τὸν μὲν κατάγει ταπεινῶν, τόνδ’ ἀνυψῶν ἐπαίρει.
ὅτι ποτήριον ἐστὶ εἰς χεῖρας τοῦ κυρίου,
κέρασμα φέρον καὶ θυμοῦ γλεῦκος ἀκράτου πλῆρες.
εἰς τοῦτ’ ἐκ τούτου κέκλικεν, ἡ τρὺξ οὐκ ἀπερρύη,
πίονται πάντες οἱ τῆς γῆς ἁμαρτωλοὶ προσκόρως.
ἐγώ δ’ ἀγαλλιάσομαι κατὰ τὸν πάντα χρόνον,
πρὸς τὸν θεὸν τὸν Ἰακὼβ ψαλῶ μου τὰς αἰνέσεις

**74** V (f. 130v) L (ff. 229v–230r) D (f. 216v usque v. 4)

**73.34** ὠνείδισε] ὀνείδισε D **74 tit.** ἐξομολογησόμεθά σοι ὁ θεός add. LD

11 καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω,
καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.

**LXXV – Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς τῷ Ἀσάφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον**

2 Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός,
ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.
3 καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ
καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών·
4 ἐκεῖ συνέτριψεν τὰ κράτη τῶν τόξων,
ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.
5 φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.
6 ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ,
ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδὲν
πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν.
7 ἀπὸ ἐπιτιμήσεώς σου, ὁ θεὸς Ἰακώβ,
ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις.
8 σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;
ἀπὸ τότε ἡ ὀργή σου / 9 ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν,
γῆ ἐφοβήθη καὶ ἡσύχασεν / 10 ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεὸν
τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.
11 ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι,
καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.
12 εὔξασθε καὶ ἀπόδοτε κυρίῳ τῷ θεῷ ὑμῶν·
πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσιν δῶρα
13 τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων,
φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

---

**75: 7.2** τοῖς ἵπποις ] *L*-$Tht^{p}$ (etiam 267) 1219 : τοὺς ἵππους B′ R $Tht^{p}He^{c}$ 55, ergo Rahlfs **75: 9.2** γῆ … ἡσύχασεν ] prob. post Ps. 75: 10.1 (vel 10.2?) ut in 185, cfr. secundum colon MPs. 75.16

καὶ πάντα τῶν ἁμαρτωλῶν τὰ κέρατα συνθλάσω
καὶ πάλιν ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου.

## 75 – Εἰς τὸ τέλος ἐν ὑμνοῖς· ψαλμὸς τῷ Ἀσὰφ ᾠδὴ πρὸς τὸν Ἀσσύριον

Γνωστός ἐστιν ὁ παντουργὸς κατὰ τὴν Ἰουδαίαν,
ἐν Ἰσραὴλ δε θαυμαστὴ τούτου σαφῶς ἡ κλῆσις,
ὁ τόπος τούτου γέγονε καταγωγεὺς εἰρήνης
καὶ τὸ κατοικητήριον εἰς τὴν Σιὼν τὴν θείαν.
ἐκεῖ συνέτριψε χειρὶ πᾶν τὸ τῶν τόξων κράτος,
ὅπλον ὁμοῦ καὶ πόλεμον καὶ μάχην καὶ ῥομφαίαν.
σὺ θαυμαστῶς ἀπὸ βουνῶν φωτίζεις αἰωνίων
καὶ πάντες ἐταράχθησαν οἱ φαῦλοι τὴν καρδίαν,
ὕπνον ὑπνώσαντες αὐτῶν εὗρον οὐδὲν οὐδόλως, ‖[131r]
οἱ δὲ πλουτοῦντες ἅπαντες εἰς τὰς ἐκείνων χεῖρας.
ἐκ τῆς ἐπιτιμήσεως τῆς σῆς δε, παντοκράτορ,
τοῖς ἵπποις ἐπενύσταξαν οἱ τούτων ἀναβάται.
σὺ φοβερὸς καὶ δυνατός, τίς ἀντιστήσεταί σοι;
πόρρωθεν ὤφθης ὀργισθείς, ἔθου δ’ ἐκ πόλου κρίσιν.
εἰς κρίσιν ἥκοντος θεοῦ καὶ πάντας ἐρευνῶντος
τοῦ σῶσαι πάντας τοὺς πραεῖς ἡσύχασεν ἡ κτίσις.
ὅτι σοι πᾶν ἐνθύμιον δῆλον ἐστὶν ἀνθρώπου,
τὸ τούτου δ’ ἐγκατάλειμμα σοὶ πάλιν ἑορτάσει.
εὔξατε καὶ πληρώσατε τῷ παντουργῷ δεσπότῃ,
οἱ κύκλῳ τούτου σύμπαντες οἴσουσι δή σοι δῶρα,
τῷ φοβερῷ καὶ τέμνοντι τὸν τῶν ἀρχόντων βίον,
τῷ φοβερῷ καὶ θαυμαστῷ παρὰ τοῖς βασιλεῦσιν.

---

75 V (ff. 130v–131r) L (ff. 230rv)

---

**75 tit.** γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ θεός· ἐν τῷ Ἰσραὴλ μεγὰ τό add. L **75.3–5** add. in marg. inf. V, cum signo post versum 4 : desunt in L **75.3** ὁ τόπος … εἰρήνης] pro verso 3 versum 6 ὅπλον ὁμοῦ καὶ πόλεμον καὶ στίλβουσαν ῥομφαίαν ante correctionem scripsit, deinde καὶ στίλβουσαν ῥομφαίαν cum γρ. καὶ μάχην καὶ ῥομφαίαν in marg. ext. correxit, sed postea hunc versum delevit et verso 3 supplevit V **75.3 et 6** invertit L **75.6** καί … ῥομφαίαν] καὶ στίλβουσαν ῥομφαίαν ante corr., γρ. καὶ μάχην καὶ ῥομφαίαν in marg. ext. corr. V : καὶ μάχην καὶ ῥομφαίαν L

## LXXVI – Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοῦν· ψαλμὸς τῷ Ἀσάφ

2 Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, / $^{2}$φωνῇ μου πρὸς τὸν θεόν, καὶ προσέσχεν μοι.
3 ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θεὸν ἐξεζήτησα,
ταῖς χερσίν μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην·
ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου.
4 ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην·
ἠδολέσχησα, καὶ ὠλιγοψύχησεν τὸ πνεῦμά μου.
5 προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου,
ἐταράχθην καὶ οὐκ ἐλάλησα. / 6 διελογισάμην ¦
$^{1}$ἡμέρας ἀρχαίας / $^{2}$καὶ ἔτη αἰώνια ἐμνήσθην ¦
$^{2}$καὶ ἐμελέτησα· / 7 νυκτὸς μετὰ τῆς καρδίας μου ¦
$^{1}$ἠδολέσχουν, / $^{2}$καὶ ἔσκαλλεν τὸ πνεῦμά μου.
8 μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος
καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;
9 ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει
<συνετέλεσε ῥῆμα> ἀπὸ γενεᾶς εἰς γενεάν;
10 μὴ ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ θεὸς
ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;
11 καὶ εἶπα Νῦν ἠρξάμην,
αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου.
12 ἐμνήσθην τῶν ἔργων κυρίου,
ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου
13 καὶ μελετήσω ἐν πᾶσιν τοῖς ἔργοις σου
καὶ ἐν τοῖς ἐπιτηδεύμασίν σου ἀδολεσχήσω.
14 ὁ θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου·
τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν;
15 σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια,
ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·
16 ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου,
τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ.
17 εἴδοσάν σε ὕδατα, ὁ θεός, / $^{2}$εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν,
καὶ ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων.
18 φωνὴν ἔδωκαν αἱ νεφέλαι,
καὶ γὰρ τὰ βέλη σου διαπορεύονται·

---

**76 tit.** ψαλμὸς τῷ Ἀσάφ] sic La$^{R}$Aug *L′* (etiam 267) 55 **76: 6.1–7.2** καί … μου] καὶ ἐμελέτησα ad 7.1 stichum La$^{G}$ Aug Ga et ἠδολέσχουν ad 7.2 La$^{G}$ Aug Ga 1219 **76: 9.2** συνετέλεσε ῥῆμα] add. *L′′*Su (etiam 267) 1219’ **76: 10.1** μή] R’ *L′′* (etiam 267) : ἤ B′ Sa L$^{R}$Aug, ergo Rahlfs **76: 17.1–2** unus stichus S Sa$^{B}$ R′′

**76 – Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθούν· ψαλμὸς τῷ ᾿Ασάφ**

Ἐκέκραξα πρὸς κύριον, ὅδ’ οὐκ ἀπώσατό με,
ἐν τῷ καιρῷ τῶν δυσχερῶν ἐζήτησα τὸν κτίστην,
ὕψωσα χεῖρας ἐν νυκτὶ καὶ γὰρ οὐκ ἠπατήθην,
παρακληθῆναι τὴν ψυχὴν οὐδόλως ἠνεσχόμην.
ἐμνήσθην μόνον τοῦ θεοῦ καὶ παρευθὺς ηὐφράνθην.
τὸ πνεῦμα δὲ φροντιστικῶς ὠλιγοψύχησέ μοι
καὶ φυλακὰς τὰ βλέφαρα προκατελάβοντό μοι
καὶ ταραχθεὶς ἐσίγησα καὶ διελογισάμην·
ἔσχον ἀρχαίων ἡμερῶν τῶν ἀπ’ αἰῶνος μνήμην
καὶ μεμελέτηκα νυκτὸς εἰς τὴν ἐμὴν καρδίαν,
ἀδολεσχοῦντος ἔσκαλλε στυγνάζον μου τὸ πνεῦμα·
μὴ μέχρι τέλους ὁ χρηστὸς ἀπώσεται δεσπότης,
ἀλλ’ οὐ προσθήσει φείσασθαι μετ’ εὐδοκίας ἔτι;
ἢ μέχρι τέλους εἰς ἡμᾶς τὸν οἶκτον ἀποκόψει,
ὃς ῥῆμα συνετέλεσεν εἰς γένος ἀπὸ γένους;
μὴ λήθην ἕξει κύριος τοῦ συμπαθῶς οἰκτεῖραι
ἢ μετ’ ὀργῆς τῶν οἰκτιρμῶν συνέξει σὰς ἐκχύσεις;
εἶπα δέ· «νῦν μεταπεσὼν εἰς τὸ καλὸν ἠρξάμην
τῆς τοῦ δεσπότου δεξιᾶς τὸ γεγονὸς ἀλλοῖον.»
ἐμνήσθην ἀγαλλόμενος τῶν ἔργων τοῦ κυρίου,
ἀρχῆθεν δὲ μνησθήσομαι τῶν κατὰ σὲ τεράτων.
ἐν πᾶσι δὲ τοῖς ἔργοις σου ποικίλως μελετήσω
κἀν τοῖς ἐπιτεδεύμασι τοῖς σοῖς ἀδολησχήσω,
ἐν τοῖς ἁγνοῖς ὁ πλαστουργὸς ἰθύνεις σου τὴν τρίβον.
τίς ὥσπερ ὁ θεὸς ἡμῶν, τίς ἀσυγκρίτως μέγας;
σὺ πάντως μόνος ὁ ποιῶν ὅσα νικᾷ τὴν φύσιν,
ἐν τοῖς λαοῖς ἐγνώρισας τὸ θαυμαστόν σου κράτος.
τὸν σόν δε κλῆρον τῇ χειρὶ προφθάσας ἐλυτρώσω
ἐν τοῖς φιλτάτοις Ἰακώβ, ἐν Ἰωσὴφ τοῖς γόνοις.
εἴδοσαν – εἶδον – ὕδατα καὶ κατεπτήχασί σε,
ἡ δ’ ἄβυσσος τετάρακται πλῆθος ὑδάτων ἤχους,
φωνὴν ἐξήνεγκαν φρικτὴν ἐξ ὕψους αἱ νεφέλαι
καὶ γὰρ διαπορεύεται συντόνως σου τὰ βέλη.

**76** V (f. 131r) L (ff. 230v–231v) D (f. 217v)

**76 tit.** φωνῇ μου πρὸς κύριον ἐκέκραξα add. LD ῥῆμα] **76.15** ῥῦμα em. Stickler

19 φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ,
ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ,
ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ.
20 ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, / [2]καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς,
καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.
21 ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου
ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών.

**C – Τῷ Δαυὶδ ψαλμός**

Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, κύριε·
2 ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ·
πότε ἥξεις πρός με;
διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.
3 οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον,
ποιοῦντας παραβάσεις ἐμίσησα·
4 οὐκ ἐκολλήθη μοι καρδία σκαμβή,
ἐκκλίνοντος ἀπ’ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.
5 τὸν καταλαλοῦντα λάθρᾳ τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον·
ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον.
6 οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς ¦
[1]τοῦ συγκαθῆσθαι αὐτοὺς μετ’ ἐμοῦ·
πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.
7 οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν,
λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐναντίον τῶν ὀφθαλμῶν μου.
8 εἰς τὰς πρωίας ἀπέκτεννον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς
τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου ¦
πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.

---

**76: 20.1** αἱ ὁδοί σου ] $L^{d}$Tht$^{p}$He$^{c}$ et Psalt. Rom. : ἡ ὁδός σου Rahlfs **100: 3.1** οὐ προετιθέμην ] *L′* (etiam 267, non THe) 1219 : προεθέμην Rahlfs **100: 6.1** unus stichus Sa Ga (ergo Rahlfs) : duo stichi rel. codd. **100: 7.2** ἐναντίον ] ἐνώπιον S *L″* (etiam 267) A″ **100: 8.2** duo stichi R″ T **100: 8.2** ἐξολοθρεῦσαι ] *L′* (etiam 267, non T) : ἐξολεθρεῦσαι Rahlfs

ἐν τῷ τροχῷ δὲ τῆς βροντῆς, σῶτερ, τῆς σῆς ὁ κτύπος,
εἰς πᾶσαν ἐξεκένωσας τὰς ἀστραπὰς τὴν κτίσιν,
ἔντρομος γέγονεν ἡ γῆ τῷ φόβῳ σαλευθεῖσα.
ἰχνηλατεῖς ἐν τοῖς βυθοῖς καὶ τρίβεις ἐφ’ ὑδάτων,
ἀλλ’ ὅμως οὐ γνωσθήσεται σοῦ τῶν ἰχνῶν ἡ ξέσις.
ὡδήγηγας ὡς πρόβατα τὸν δῆμον σου, παντάναξ,
τὸν Ἀαρὼν καὶ τὸν Μωσῆν δημαγωγοὺς ἐκφήνας.

## 100 – Τῷ Δαυὶδ ψαλμός

Οἶκτον καὶ κρίσιν ᾄσομαι τῷ παντοκράτορί σοι,
ἐν τρίβῳ δὲ μὴ ῥυπαρᾷ ψαλῶ τε καὶ συνήσω, ‖131v
πλὴν ἥξεις πρός με τὸν εἰς σὲ τεθαρρηκότα πότε;
ἐν μέσῳ τῆς οἰκίας μου καλῶς ἐπορευόμην,
πρὸ τῶν βλεφάρων ἀσεβὲς οὐ προυτιθέμην πρᾶγμα.
μεμίσηκα τοὺς πράττοντας ἀφρόνως παραβάσεις,
οὐκ ἐκολλήθη μοι σκαμβὴ καὶ πονηρὰ καρδία.
τοῦ δυσμενοῦς ἐκκλίνοντος τοῦτον αὐτὸς ἠγνόουν.
τὸν δὲ λαθραῖον ὑβριστὴν τοῦ πέλας ἀπεσόβουν,
ἀλῶν δε τούτῳ κοινωνεῖν ὁ ζῆλος οὐκ ἐδίδου.
οἱ δ’ ὀφθαλμοί μου τοὺς πιστοὺς πάσης τῆς γῆς ἐζήτουν,
ὥστε καὶ συγκαθῆσθαι μοι καθάπαξ καὶ συνεῖναι.
ὁ πορευόμενος ὀρθῶς, οὗτος ἐδούλευέ μοι,
εἰ δέ τις ὑπερήφανος οὐδόλως μοι συνῷκει,
ὁ πρὸ προσώπου μου λαλῶν ἀδίκως οὐκ ηὐστόχει.
ὄρθρου δὲ πάντας τοὺς τῆς γῆς ἁμαρτωλοὺς ἀνῄρουν,
ὥστε τῆς πόλεως θεοῦ πάντας ἐξολοθρεῦσαι,
τοὺς δυσμενεῖς καὶ τῆς δεινῆς ἐργάτας ἀνομίας.

Δόξα. Κάθισμα ιγʹ

**100** V (ff. 131rv) L (ff. 231v–232r) D (tantum vv. 1, 3, 5, 7, 9 habet, f. 218r)

neque post MPs. 76 neque ante MPs. 77 δόξα et κάθισμα ιαʹ praebet V **100 tit.** ἔλεον καὶ κρίσιν ᾄσομαί σε κύριε add. LD : in marg. inf. etiam οἶκτον καὶ κρίσιν ᾄσομαι τῷ παντοκράτορί σοι add. D

## CI – Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ

2 Εἰσάκουσον, κύριε, τῆς προσευχῆς μου,
καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.
3 μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ·
ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου·
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ εἰσάκουσόν μου.
4 ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου,
καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν.
5 ἐπλήγη ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου,
ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.
6 ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου / 2ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.
7 ὡμοιώθην πελεκᾶνι ἐρημικῷ,
ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ,
8 ἠγρύπνησα καὶ ἐγενήθην / 2ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματος.
9 ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου,
καὶ οἱ ἐπαινοῦντές με κατ’ ἐμοῦ ὤμνυον.
10 ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον
καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων
11 ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου,
ὅτι ἐπάρας κατέρραξάς με.
12 αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν,
καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην.
13 σὺ δέ, κύριε, εἰς τὸν αἰῶνα μένεις,
καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.
14 σὺ ἀναστὰς οἰκτιρήσεις τὴν Σιών,
ὅτι καιρὸς τοῦ οἰκτιρῆσαι αὐτήν, ὅτι ἥκει καιρός·
15 ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς
καὶ τὸν χοῦν αὐτῆς οἰκτιρήσουσιν.
16 καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα κυρίου
καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου,
17 ὅτι οἰκοδομήσει κύριος τὴν Σιὼν
καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.

---

**101: 2.1** εἰσάκουσον κύριε] B R’’ : κύριε εἰσάκουσον S Ga *L*’’ A’ **101: 2.2** ἐλθέτω] S* R* *L*′ : ἐλθάτω B THe* S$^{c}$R$^{c}$ A’ **101: 3.2** πρός … σου] sic S Ga *L*’’ A’ : τὸ οὖς σου πρός με B R’’ **101: 6.1–2** unus stichus B′ R’’ Sy He A’’ necnon 267 **101: 8.1–2** duo stichi Ga, unus rel. codd. **101: 8.2** ἐπὶ δώματος] *L* (etiam 267, non TThtHeSu) : ἐπὶ δώματι Rahlfs

**101 – Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ**

Εἰσάκουσόν μου συμπαθῶς τῆς προσευχῆς, παντάναξ,
ἡ δὲ κραυγή μου πρὸς τὸ σὸν ἐπιεικὲς ἐλθέτω,
ἐμοῦ δε πρόσωπον τὸ σὸν μηδόλως ἀποστρέψῃς,
ἣν δ’ ἂν ἡμέραν θλίβωμαι, κλῖνον μοι, σῶτερ, ὦτα,
ἣν δ’ ἂν ἐπικαλέσωμαι, θᾶττον ἐπάκουσόν μου.
αἱ γὰρ ἐμαὶ κατὰ καπνὸν ἐξέλιπον ἡμέραι,
φρυγίου τρόπον δέ τινος τὰ κῶλα συνεφρύγην,
πληγεὶς ὡς χόρτος ἔσχηκα ξηράν μου τὴν καρδίαν,
ἐπείπερ τοῦ τὸν ἄρτον μου φαγεῖν ἐπελαθόμην.
στενάζοντός μου τῇ σαρκὶ τὸ κῶλον ἐκολλήθη.
ἐρημικῷ παρεμφερὴς εὑρέθην πελεκᾶνι
καὶ νυκτικόραξ ἀγεννὴς ἐν οἰκοπέδῳ νέος,
ἠγρύπνησα καὶ γέγονα στρουθός τις ἐπὶ στέγης.
ὠνειδιζόμην παρ’ ἐχθρῶν εἰς ἅπασαν ἡμέραν,
οἱ δ’ ἐπαινοῦντες με τοπρίν ὕβριζον νῦν ὀμνύντες,
ὅτι σποδὸν ὡς φύραμα καὶ τρύφος εὐωχήθην,
μετὰ κλαυθμοῦ δε δυσπαθῶς ἐκίρνων μου τὸ πόμα,
ἀπὸ προσώπου τῆς ὀργῆς καὶ τοῦ φρικτοῦ θυμοῦ σου·
ἐπάρας γὰρ εἰς ὕψος με κατήνεγκας εἰς βάθος.
τρόπον σκιᾶς αἱ κατ’ ἐμὲ παρέδραμον ἡμέραι,
ἐγώ δε χόρτος ἄνικμος ὑπῆρξα παραυτίκα.
σύ δ᾽ ὁ τὰ πάντα τετευχὼς εἰς τὴν αἰῶνα μένεις
καὶ τὸ μνημόσυνον τὸ σὸν εἰς γένος ἀπὸ γένους.
σύ δ’ οἰκτειρήσεις ἀναστὰς καὶ τὴν Σιὼν τὴν θείαν·
οὗτος γὰρ ἔστι ὁ καιρὸς τοῦ ταύτην κατοικτεῖραι,
ταύτης καὶ γὰρ ηὐδόκησαν οἱ δοῦλοι σου τοὺς λίθους
καὶ ταύτης οἰκτειρήσουσι τὸν χοῦν τε καὶ τὴν βάσιν.
ἔθνη δὲ πάντα πτήξουσι τὴν τοῦ δεσπότου κλῆσιν,
οἱ δὲ τοῦ κόσμου βασιλεῖς τὴν δόξαν σου, παντάναξ·
τὴν γὰρ Σιὼν ὁ παντουργὸς οἰκοδομήσει μόνος,
ᾗ καὶ φανήσεται δεικνὺς τὴν δόξαν τὴν ἰδίαν.

**101** V (ff. 131v–132r) L (ff. 232r–233r) D (f. 218v tantum vv. 30, 32, 34, 36, 38, 40, 42, 44, 46, 48, 50, 52, 54 habet)

**101 tit.** κύριε εἰσάκουσον τῆς προσευχῆς μου καὶ ἡ κραυγή μου add. L

18 ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν
καὶ οὐκ ἐξουδένωσεν τὴν δέησιν αὐτῶν.
19 γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν,
καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον,
20 ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ,
κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψεν
21 τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων,
τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων,
22 τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα κυρίου
καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ
23 ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ
καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ.
24 ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ / [τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι·]
25 μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου,
ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.
26 κατ’ ἀρχὰς σύ, κύριε, τὴν γῆν ἐθεμελίωσας,
καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί·
27 αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις,
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται,
καὶ ὡσεὶ περιβόλαιον ἀλλάξεις αὐτούς, καὶ ἀλλαγήσονται·
28 σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.
29 οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν,
καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## CII – Ψαλμὸς τῷ Δαυίδ

Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον / [3]καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ·
2 εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον
καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ·
3 τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου,
τὸν ἰώμενον πάσας τὰς νόσους σου·
4 τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου,
τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς·

**101: 21.1** τοῦ στεναγμοῦ] *L′* (etiam 267, sed non non $L^{pau}$-He) : τὸν στεναγμόν Rahlfs **101: 23.1** συναχθῆναι] B′ R 1219’ : ἐν τῷ ἐπὶ συναχθῆναι *L′* A **101: 23.2** βασιλεῖς] Sa Ga *L′′* A′′ : βασιλείας B′′ R′′, ergo Rahlfs **101: 27.1** διαμένεις] Sa La Ga necnon 267 : διαμενεῖς Bo Sy, ergo Rahlfs **101: 27.3** ἀλλάξεις] S La Ga et Tert, sed cfr. ἑλίξεις *L′′* A′′ **102 tit.** sic $La^G$ $L^{a\prime}$ (etiam 267, non He)

πρὸς τὰς εὐχὰς ἐπέβλεψε τῶν τεταπεινωμένων,
ἐξουδενώσας τὰς αὐτῶν οὐδόλως παρακλήσεις.
αὕτη γραφήτω σήμερον εἰς γενεὰν ἑτέραν,
ὁ δὲ κτιζόμενος λαὸς αἰνέσει τὸν δεσπότην·
ὕψους καὶ γὰρ ἐξέκυψε τοῦ καθ' αὐτὸν ἁγίου
κύριος ὢν ἐπέβλεψεν ἐπὶ τὴν γῆν ὑψόθεν,
ὅπως ἀκούσῃ στεναγμοῦ τοῦ τῶν πεπεδημένων
καὶ λύσῃ πάντας τοὺς υἱοὺς τῶν τεθανατωμένων,
ὥστε τρανῶσαι τῇ Σιὼν τὴν τοῦ δεσπότου κλῆσιν,
ἐν τῷ Σαλὴμ δὲ τὰς αὐτοῦ παρὰ παντὸς αἰνέσεις,
ἐν τῷ φυλὰς παντοδαπὰς συλλήβδην ἀθροισθῆναι ||132r
καὶ βασιλεῖς πολυτελεῖς δουλεύειν τῷ κυρίῳ.
ἰσχύος τρίβῳ τῆς αὐτοῦ πρὸς τοῦτον ἀπεκρίθη·
ἐμῆς ἡμίσει με ζωῆς μηδόλως ἀναγάγῃς,
ἐν γενεᾷ γαρ γενεῶν τὰ τῶν ἐτῶν σου πλήθη.
σὺ καταρχάς, ὁ παντουργὸς, βάθρα τῇ γῇ πηγνύεις,
χερσί δε σαῖς τοὺς οὐρανοὺς ἐσφαίρωσας ἀρρήτως.
αὐτοὶ φθεροῦνται, δέσποτα· σύ δ' ὑπὲρ πάντας μένεις
καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονταί σοι,
οὓς ἐξαμείψεις ἐν στροφῇ περιβολαίου τρόπον.
σύ δε μενεῖς ἀκίνητος ἐν ἔτεσι ἑστῶσιν,
οἱ παῖδες δὲ τῶν παίδων σου κατασκηνώσουσί σοι.
καὶ σφῶν κατευθυνθήσεται μέχρι παντὸς τὸ σπέρμα.

### 102 – Ψαλμὸς τῷ Δαυίδ

Σὺν τοῖς ἐγκάτοις μου, ψυχή, τὸν παντουργὸν εὐλόγει
ναί, κρότει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην
καὶ μέμνησο τῆς περὶ σὲ καθ' ὥραν προμηθείας·
τὸν πᾶσι τοῖς ἐγκλήμασι εὐιλατεύοντά σου,
τὸν καθαιροῦντα μυστικῶς ἁπάσας σου τὰς νόσους,
τὸν τῆς φθορᾶς λυτρούμενον εὐσπλάγχνως σου τὸν βίον,
τὸν στεφανοῦντα σε λαμπρῶς ἐν οἰκτιρμοῖς ἀφθόνοις,

**102** V (f. 132r) L (ff. 233r–234r) D (f. 219r) Vat (ff. 37r–38r)

**102 tit.** εὐλόγει ἡ ψυχή μου τὸν κύριον καὶ πάντα τὰ ἐντός μου add. LD : ψαλμὸς τῷ Δαυίδ· τῷ κυρίῳ εὐχαριστήριος et Mi.Ps. *Poem.* 54.1037–1047 (ed. Westerink) add. Vat, f. 37r (vid. app. 2) **102.2** ναί] καὶ Vat **102.7** ἀφθόνοις] ἀφθόνος Vat

5 τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου,
ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
6 ποιῶν ἐλεημοσύνας ὁ κύριος
καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.
7 ἐγνώρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ,
τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
8 οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, / [2]μακρόθυμος καὶ πολυέλεος·
9 οὐκ εἰς τέλος ὀργισθήσεται
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ·
10 οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν
οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν
11 ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς
ἐκραταίωσεν κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν·
12 καθ’ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
ἐμάκρυνεν ἀφ’ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
13 καθὼς οἰκτίρει πατὴρ υἱούς, / [2]οἰκτίρησεν κύριος τοὺς φοβουμένους αὐτόν,
14 ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν·
ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
15 ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ·
ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει·
16 ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει
καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
17 τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος ¦
[1]καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν,
καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν
18 τοὺς […] / [2][…] μεμνημένους τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
19 κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν θρόνον αὐτοῦ,
καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
20 εὐλογεῖτε τὸν κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ,
δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ
τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ·
21 εὐλογεῖτε τὸν κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ,
λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ·
22 εὐλογεῖτε τὸν κύριον, πάντα τὰ ἔργα αὐτοῦ
ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ·

---

**102: 10.1–2** ἀνομίας … ἁμαρτίας] sic *L* (etiam 267, non T-Tht’He) : ἁμαρτίας … ἀνομίας Rahlfs **102: 13.1** οἰκτίρησεν] ᾠκτίρησεν *L*′ (etiam 267, non THe) **102: 14.2** ἐμνήσθη] Ga *L*′ (etiam 267) A′ : μνήσθητι Rahlfs **102: 17.1** duo stichi $La^{G}$ Ga TSy A’’ necnon 267 **102: 18.1–2** τοὺς … μεμνημένους] sic $L^{pau}$

τὸν ἐμπιπλῶντα τοῖς καλοῖς τὴν σὴν ἐπιθυμίαν,
ὡς ἀετὸς ὁ χρόνος σου γεγηρακὼς ἀνθήσει.
κύριος ἔστιν ὁ ποιῶν τὰς ἐλεημοσύνας
καὶ κρῖμα πᾶσι τοῖς πτωχοῖς καὶ τοῖς ἀδικουμένοις.
ἐγνώρισε τῷ Μωυσῇ τὰς τρίβους τὰς ἰδίας,
αὐτοῦ δε τὰ θελήματα τοῖς Ἰσραὴλ ἐκγόνοις.
οἰκτίρμων καὶ μακρόθυμος ὁ συμπαθὴς δεσπότης·
οὐδὲ γὰρ ὀργισθήσεται τοῖς πταίσμασιν εἰς τέλος,
οὐδ᾽ εἰς αἰῶνας ἅπαντας ἐπιτενεῖ τὴν μῆνιν,
οὐ πρὸς τὰς πράξεις τὰς ἡμῶν εἰργάσατο τοῖς δούλοις,
οὐδ᾽ ἀνταπέδωκεν ἡμῖν κατὰ τὰς ἁμαρτίας·
ὅσον γὰρ ὕψος οὐρανὸς ἀπὸ τῆς γῆς δεικνύει,
τοσοῦτον κατῳκτείρησε τοὺς τοῦτον φοβουμένους.
καθόσον δ᾽ ἀφεστήκασιν ἀνατολαὶ δυσμόθεν,
τοσοῦτον ἔθετο μακρὰν τὰ καθ᾽ ἡμᾶς πρακτέα.
πάντας οἰκτείρει πατρικῶς τοὺς φοβουμένους τοῦτον·
αὐτός γαρ ἔγνω τὴν ἡμῶν γῆθεν πλασθεῖσαν φύσιν,
ὅτι δὲ χοῦς ἐσμὲν ἡμεῖς ὡς πλαστουργὸς ἐμνήσθη.
ἄνθρωπος γὰρ ὡς χόρτος τις αἱ κατ᾽ αὐτὸν ἡμέραι,
ὡς ἄνθος δέ τι θαλερὸν ἀγρόθεν ἐξανθήσει·
πνεῦμα γὰρ ἦλθεν ἐπ᾽ αὐτῷ καὶ πάλιν οὐχ ὑπάρξει
καὶ τόπον, ὃν ἐπλήρωσεν, οὐκ ἐπιγνώσεταί που.
οἱ δ᾽ οἰκτιρμοὶ τοῦ κτίσαντος μέχρι ἐτῶν ἀπείρων
καὶ πᾶσι μέχρι τοῦ παντὸς τοῖς τοῦτον δεδοικόσιν,
ἐπὶ δὲ παῖδας καὶ γονεῖς ἡ κατὰ τοῦτον θέμις
τοὺς μεμνημένους τὰς αὐτοῦ τελέσαι παραινέσεις.
ἐν οὐρανοῖς ἡτοίμασε τὸν θρόνον ὁ δεσπότης,
δεσπόζει δὲ τοῦ ξύμπαντος ἡ τούτου βασιλεία.
ὑμνεῖτε τὸν φιλάνθρωπον αἱ τῶν ἀγγέλων φύσεις,
αἱ δυναταὶ πρὸς τὸ πληροῦν τὰς παρ᾽ αὐτοῦ προστάξεις
καὶ τῆς φωνῆς τῶν ὑπ᾽ αὐτοῦ συνεῖναι λεγομένων.
ὑμνεῖτε τὸν ὑψίθρονον αἱ παρ᾽ αὐτοῦ δυνάμεις,
οἱ λειτουργοὶ τῶν κατ᾽ αὐτὸν ἐργάται θελημάτων.
ὑμνεῖτε τὸν φιλάνθρωπον τὰ παρ᾽ αὐτοῦ πρακτέα,
ἐν δὲ παντὶ τῷ τῆς αὐτοῦ κυριαρχίας τόπῳ.

---

**102.16** ἐπιτενεῖ] ἐπιτελεῖ Vat **102.19** οὐρανὸς] οὐρανοῦ Vat **102.20** τοσοῦτον] τὸ σοῦτον Vat
**102.25** χοῦς] χοῦσι Vat **102.35** βασιλεία] ἡ add. Vat

εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.

**CIV – Ἀλληλούια**

Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ,
ἀπαγγείλατε ἐν τοῖς ἔθνεσιν τὰ ἔργα αὐτοῦ·
2 ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ,
διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.
3 ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ,
εὐφρανθήτω <ἡ> καρδία ζητούντων τὸν κύριον·
4 ζητήσατε τὸν κύριον καὶ κραταιώθητε,
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διὰ παντός.
5 μνήσθητε τῶν θαυμασίων αὐτοῦ, ὧν ἐποίησεν,
τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ,
6 σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ,
υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
7 αὐτὸς κύριος ὁ θεὸς ἡμῶν,
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.
8 ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ,
λόγου, οὗ ἐνετείλατο εἰς χιλίας γενεάς,
9 ὃν διέθετο τῷ Ἀβραὰμ, / [2]καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ
10 καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ εἰς πρόσταγμα
καὶ τῷ Ἰσραὴλ διαθήκην αἰώνιον
11 λέγων σοὶ δώσω τὴν γῆν Χαναάν
σχοίνισμα κληρονομίας ὑμῶν.
12 ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς,
ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ
13 καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος,
<καὶ> ἐκ βασιλείας εἰς λαὸν ἕτερον·
14 οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς
καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς
15 Μὴ ἅπτεσθε τῶν χριστῶν μου / [2]καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.
16 καὶ ἐκάλεσεν λιμὸν ἐπὶ τὴν γῆν,

**104: 3.2** ἡ] add. $L^{pau}$ (etiam 267) **104: 9.1–2** unus stichus S Sa A’ **104: 11.1** σοί] cum λέγων in Phile **104: 13.2** καί] add. $SBo^{p}$ Sa R Ga *L*’’ (etiam 267) A’, cfr. MPs. 104.25 δέ **104: 15.1–2** sic praebet 267

εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην.

## 104 – Ἀλληλούια

Ὑμνοῦντες τὸν παντάνακτα, τοῦτον ἐπικαλεῖσθε
καὶ τούτου καταγγείλατε τοῖς ἔθνεσι τὰς πράξεις. ‖[132v]
ᾄσατε τούτῳ, ψάλατε μετὰ φωνῆς εὐσήμου
καὶ τούτου διηγήσασθε τὰ θαυμαστὰ πρακτέα,
οὗ καὶ τῇ κλήσει τῇ σεπτῇ καθάπαξ ἐπαινεῖσθε.
ἐχέτω τέρψιν ἡ ψυχὴ τῶν τὸν θεὸν ζητούντων·
ζητήσατε τὸν κύριον καὶ κραταιώθητέ μοι,
διαπαντὸς ζητήσατε τὴν ὄψιν τοῦ δεσπότου,
μνήσθητε τούτου τῶν πολλῶν καὶ ξένων θαυμασίων
καὶ τῶν τοῦ στόματος αὐτοῦ κριμάτων καὶ τεράτων,
ὅσοι τοῦ γένους Ἀβραὰμ καὶ δοῦλοι τοῦ δεσπότου,
ὅσοι τοῦ γένους Ἰακὼβ πλὴν ἐκλεκτοὶ τὸν τρόπον.
κύριος οὗτος καὶ θεὸς τοῦ τῶν ἀνθρώπων γένους,
οὗπερ εἰς ἅπασαν τὴν γῆν τὸ τῶν κριμάτων πλῆθος.
μέχρι παντὸς τῆς καθ’ αὐτὸν ἐμνήσθη διαθήκης
καὶ λόγου τοῦ πρὸς γενεὰς χιλίας εἰρημένου,
ὃν Ἀβραὰμ σὺν Ἰσαὰκ λελάληκε μεθ’ ὅρκου,
ὃν Ἰακὼβ εἰς πρόσταξιν κατέστησεν ἑδραίαν,
τῷ δ’ Ἰσραὴλ αἰώνιον ἀφῆκε διαθήκην
σοὶ λέγων· «δώσω Χαναὰν τὸν μερισθέντα κλῆρον,
ὑμῖν δὲ τοῦτον σχοίνισμα θεσπίσας ὑποστήσω»
ἐν τῷ βραχεῖς τὸν ἀριθμὸν πάντας αὐτοὺς τυγχάνειν,
ὀλιγοστοὺς καὶ ταπεινοὺς καὶ φαύλους καὶ παροίκους,
ἐξ ἔθνους δὲ παρήλασεν εἰς ἔθνος φυγαδεύων,
εἰς δὲ λαὸν ἀλλοδαπὸν ἐξ αὐτοκρατορίας.
ἄνθρωπον τούτους ἀδικεῖν ἐκεῖνος οὐκ ἀφῆκεν
ὑπὲρ αὐτῶν δε βασιλεῖς ἐλέγχων οὐκ ἀνήει·
«μὴ τῶν χριστῶν καθάπτεσθε, μὴ δὲ τῶν προφητῶν μου»
λιμόν δ’ ἐκάλεσε δεινὸν ἐπὶ τὴν οἰκουμένην,

**104** V (ff. 132r–133r) L (ff. 234r–235v) D (ff. 219v–220v)

**104 tit.** ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα add. L : εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυὶδ δόξα ἀλληλούια ψαλμὸς ρδ D

πᾶν στήριγμα ἄρτου συνέτριψεν·
17 ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον,
εἰς δοῦλον ἐπράθη Ἰωσήφ.
18 ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ,
σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ
19 μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ,
τὸ λόγιον κυρίου ἐπύρωσεν αὐτόν.
20 ἀπέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν,
ἄρχων λαῶν, καὶ ἀφῆκεν αὐτόν·
21 κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ
καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ
22 τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν
καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.
23 καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον,
καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ·
24 καὶ ηὔξησεν τὸν λαὸν αὐτοῦ σφόδρα
καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.
25 μετέστρεψεν τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ,
τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ.
26 ἐξαπέστειλεν Μωυσῆν τὸν δοῦλον αὐτοῦ,
Ἀαρών, ὃν ἐξελέξατο αὐτόν·
27 ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ
καὶ τῶν τεράτων ἐν γῇ Χάμ.
28 ἐξαπέστειλεν σκότος, καὶ ἐσκότασεν,
ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ.
29 μετέστρεψεν τὰ ὕδατα αὐτῶν εἰς αἷμα
καὶ ἀπέκτεινεν τοὺς ἰχθύας αὐτῶν.
30 ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους / [2]ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν.
31 εἶπεν, καὶ ἦλθεν κυνόμυια / [2]καὶ κνίπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν.
32 ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν,
πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν,
33 καὶ ἐπάταξεν τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν
καὶ συνέτριψεν πᾶν ξύλον ὁρίου αὐτῶν.
34 εἶπεν, καὶ ἦλθεν ἀκρὶς / [2]καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός,
35 καὶ κατέφαγεν πάντα τὸν χόρτον ἐν τῇ γῇ αὐτῶν

---

**104: 20.2** λαῶν] λαοῦ *L''* (etiam 267) **104: 25.1** αὐτοῦ] Sa *L'* (etiam 267) A : αὐτῶν Rahlfs **104: 28.2** ὅτι] *L* (etiam 267) A Psalt. Rom. : καί B' Sa R'' 55 **104: 30.1** ἐξεῖρψεν] $L^{d'}$ (etiam 267) : ἐξῆρψεν Rahlfs **104: 31.2** κνίπες] 290 apud H.–P. : σκνῖπες B *L''* $A^{*(vid.)}$, σκνίπες 267 **104: 34.1–2** unus stichus B' $La^{G}$ A''

ἄρτου δὲ στήριγμα χρηστὸν συνέτριψεν ἀθρόον,
ἔμπροσθεν τούτων ἄνθρωπον ἐξέπεμψεν ὡραῖον·
καὶ γὰρ ὁ σώφρων Ἰωσὴφ αἰχμάλωτος ἐπράθη,
οὗ πέδαις ἐταπείνωσαν οἱ δυσμενεῖς τοὺς πόδας,
σφαγῆς δε σίδηρον αὐτοῦ διῆλθεν ἡ καρδία
μέχρι τοῦ φθῆναι πρὸς αὐτὸν τὴν τοῦ δεσπότου ψῆφον·
ἐπύρωσε τὸν ἄνθρωπον τὸ ῥῆμα τοῦ κυρίου
καὶ βασιλεὺς ἀπέστειλε καὶ λέλυκεν ἐκεῖνον,
ἄρχοντος δὲ κελεύσαντος, ἀνείθη τοῦ κινδύνου.
πάσης αὐτὸν κατέστησε δεσπότην τῆς οἰκίας
καὶ τῆς οὐσίας ἄρχοντα τῆς ὑποτεταγμένης,
ἵνα παιδεύσῃ καθ' αὐτὸν τοὺς ἄρχοντας ἐκείνου
καὶ πρεσβυτέρους τοὺς αὐτοῦ σοφίσας καταρτίσῃ.
πλὴν ἀλλ' εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον αὐτίκα,
ὁ δ' Ἰακὼβ ἐν τῇ τοῦ Χὰμ παρῴκησεν ἠπείρῳ,
ἔνθα τὸν δῆμον ηὔξησεν, ὃν εἶχε κατακράτος,
καὶ τοῦτον ἔθετο στερρὸν ὑπὲρ τοὺς πολεμίους.
ἀλλὰ μετέστρεψεν αὐτοῦ πρὸς μῖσος τὴν καρδίαν,
ὡς ἐν τοῖς δούλοις τοῖς αὐτοῦ συνεῖναι μετὰ δόλου.
ἀπέστειλε δὲ Μωυσῆν τὸν δοῦλον τὸν οἰκεῖον,
τὸν Ἀαρών δε μετ' αὐτὸν εἰς ἐκλογὴν δευτέραν,
ἐν τούτοις δὲ παρέθητο σοὺς τῶν σημείων λόγους
καὶ τῶν τεράτων τῶν φρικτῶν ἐν τῇ τοῦ Χὰμ ἠπείρῳ.
σκότος ἐξέπεμψε βαθὺ καὶ σκοτασμὸς ἡ κτίσις,
ἐπείπερ παρεπίκραναν τοὺς λόγους τοῦ δεσπότου.
πᾶν ὕδωρ πότιμον αὐτοῖς μετέστρεψας εἰς αἷμα
καὶ ξύμπαντας ἀπέκτεινε τοὺς παρ' αὐτοῖς ἰχθύας,
γῇ δε βατράχους τοῖς αὐτῶν ἐξεῖρψε βασιλείοις,
ἦλθε δὲ σφῶν κυνόμια καὶ κνίπες τοῖς ὁρίοις.
ἔθετο δὲ καὶ χάλαζαν τὰς τούτων ἐπομβρίας
καὶ πῦρ ἀνῆψε παρευθὺς τῶνδε τὴν γῆν συμφλέγον
καὶ τὰς συκᾶς ἐπάταξε καὶ τὰς ἀμπέλους τούτων
καὶ πᾶν συνέτριψεν αὐτῶν ἐν τοῖς ὁρίοις ξύλον. ‖133r
εἶπε· καὶ γέγονεν ἀκρὶς πλὴν ἀριθμοῦ καὶ βροῦχος
καὶ πάντα δεδαπάνηκε τὸν χόρτον τοῦ πεδίου

καὶ κατέφαγεν <πάντα> τὸν καρπὸν τῆς γῆς αὐτῶν.
36 καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, / [2]ἀπαρχὴν παντὸς πόνου αὐτῶν,
37 καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ
καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν <ὁ> ἀσθενῶν.
38 εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν,
ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ’ αὐτούς.
39 διεπέτασεν νεφέλην εἰς σκέπην αὐτοῖς
καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.
40 ᾔτησαν, καὶ ἦλθεν ὀρτυγομήτρα,
καὶ ἄρτον οὐρανοῦ ἐνέπλησεν αὐτούς·
41 διέρρηξεν πέτραν, καὶ ἐρρύησαν ὕδατα,
ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί.
42 ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ
τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ
43 καὶ ἐξήγαγεν τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει
καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.
44 καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν,
καὶ πόνους λαῶν ἐκληρονόμησαν,
45 ὅπως ἂν φυλάξωσιν τὰ δικαιώματα αὐτοῦ
καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν.

## CV – Ἀλληλούια

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
2 τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου,
ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;
3 μακάριοι οἱ φυλάσσοντες κρίσιν
καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.
4 μνήσθητι ἡμῶν, κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου,
ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου
5 τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου,
τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου,

**104: 35.2** πάντα ] add. GaAug *L''* (etiam 267) A′ et πᾶν τὸ γένημα τῆς χώρας 55, sed MPs. 104.65 τὸν καρπὸν … πάσης τῆς γῆς **104: 37.2** ὁ ] add. *L′* (etiam 267) **105: 2.1** τὰς δυναστείας ] praemittit πάσας Bo, sed cfr. Ps. 105: 2.2 et MPs. 105.4

καὶ τὸν καρπὸν ἠφάνισε πάσης τῆς γῆς ἐκείνης
καὶ τὰ πρωτότοκα τὰ σφῶν ἐπάταξεν ἀθρόα,
πάλιν δ’ αὐτοὺς ἐξήγαγεν ἐν πλούτῳ χρυσαργύρου,
οὐδείς δε τούτων ταῖς φυλαῖς ἐνόσει τηνικάδε.
οἱ μὲν οὖν ἐπανήχθησαν, ἡ δ’ Αἴγυπτος εὐφράνθη·
καὶ γὰρ ἐπέπεσεν αὐτῶν ὁ φόβος τοῖς ἐκεῖσε
καὶ τούτους ἐπεσκίασε νεφέλη πετασθεῖσα
καὶ πῦρ ἐφώτισεν αὐτοῖς τὸ σκότος τῆς ἑσπέρας.
ὀρτυγομήτρα πρὸς αὐτοὺς αἰτησαμένους ἦλθεν,
ἄρτος δὲ τούτους ἔπλησεν οὐρανοῦ φύρτου ζύμης,
ῥαγείσης πέτρας, ὕδατα χάριν αὐτῶν ἐρρύη,
ἡ χύσις δὲ ποταμηδὸν ἐπλήρου τὰς ἐρήμους·
τοῦ λόγου γὰρ τοῦ καθ’ αὐτὸν ὁ παντουργὸς ἐμνήσθη,
ὃν εἴρηκε πρὸς Ἀβραὰμ τὸν ἐξαιρέτως δοῦλον
καὶ τὸν λαὸν ἐξήγαγε μετ’ εὐφροσύνης ξένης
καὶ τοὺς τὸν τρόπον ἐκλεκτοὺς ἐν τέρψει πολυτρόπῳ.
ἐθνῶν δε χώρας δέδωκεν ἐξ ὑπαρχῆς ἐκείνοις,
λαῶν δε πόνους ἔλαβον ἀντὶ πατρῴων κλήρων,
ὡς ἂν φυλάξωσιν αὐτοῦ τὰς ἐντολὰς ἐμφρόνως
καὶ τούτου προθυμότερον ζητήσωσι τὸν νόμον.

Δόξα. Κάθισμα ιδ΄

**105 – Ἀλληλούια**

Ὑμνεῖτε δὴ τὸν παντουργὸν ὡς ἀγαθὸν τὴν φύσιν·
ἐκτείνει γὰρ τοὺς οἰκτιρμοὺς ἄχρις ἐτῶν ἀπείρων.
τίς ἄρα πάσας τὰς αὐτοῦ λαλήσει δυναστείας;
τίς δ’ ἀκουστὰς ἐργάσεται τὰς πρὸς αὐτὸν αἰνέσεις;
εὐδαίμονες ὑπάρχουσιν, ὅσοι τηροῦσι κρίσιν,
διηνεκῶς δε πράττουσιν ἔργα δικαιοσύνης.
ἐν εὐδοκίᾳ μνήσθητι, παντάναξ, τοῦ λαοῦ σου,
τῷ σῷ δ’ ἐπίσκεψαι τοὺς σοὺς ὑψόθεν σωτηρίῳ,
τοῦ βλέψαι τῇ χρηστότητι τῶν παρὰ σοὶ κρειττόνων,
τοῦ δ’ ἔθνους σου τῇ ποθεινῇ τερφθῆναι θυμηδίᾳ

**105** V (ff. 133r–134r) L (ff. 235v–237v) D (ff. 220v–221r)

**105 tit.** ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστὸς ὅτι add. LD

τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.
6 ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν,
ἠνομήσαμεν, ἠδικήσαμεν.
7 οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου
οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου
καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.
8 καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ
τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ·
9 καὶ ἐπετίμησεν τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη,
καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ·
10 καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντος
καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν·
11 [καὶ] ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς,
εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.
12 καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ
καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ.
13 ἐτάχυναν ἐπελάθοντο τῶν ἔργων αὐτοῦ,
οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ·
14 καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ
καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ.
15 καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν
καὶ ἐξαπέστειλεν πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν.
16 καὶ παρώργισαν Μωυσῆν ἐν τῇ παρεμβολῇ
τὸν Ἀαρὼν τὸν ἅγιον κυρίου·
17 ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν Δαθάν
καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών·
18 καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν,
φλὸξ κατέφλεξεν ἁμαρτωλούς.
19 καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ / $^{2}$καὶ προσεκύνησαν τῷ γλυπτῷ·
20 καὶ ἠλλάξαντο τὴν δόξαν αὐτῶν / $^{2}$ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρτον.
21 <καὶ> ἐπελάθοντο τοῦ θεοῦ τοῦ σῴζοντος αὐτούς,
τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ,
22 θαυμαστὰ ἐν γῇ Χάμ, / $^{2}$φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς.

**105: 10.1** μισοῦντος] R *L′* (etiam 267) A : μισούντων B’’ Sa La Ga SyHe 1219’ **105: 10.2** ἐχθρῶν] Bo La$^{G}$ *L*$^{d}$HeS$^{c}$ (etiam 267) 1219 : ἐχθροῦ Rahlfs **105: 11.1** καί] om. *L′* (etiam 267) A **105: 12.1** τῷ λόγῳ] *L′* (etiam 267, non THe) 1219’ : ἐν τῷ λόγῳ Bo : ἐν τοῖς λόγοις Rahlfs **105: 16.1** Μωυσῆν] τὸν Μωυσῆν S *L′* A′ **105: 16.2** τόν] *L′* (etiam 267) A′ : καί Rahlfs **105: 16.2** Ἀβειρών] H.–P. necnon 267 : Αβιρων Rahlfs **105: 21.1** καί] add. *L*$^{a}$Tht$^{p}$ (etiam 267, non THe) 2040 **105: 22.1–2** unus stichus B′ **105: 22.1** θαυμαστά] θαυμάσια R *L’’* (etiam 267) A’

καὶ τῇ κληρονομίᾳ σου συνεπαινεῖσθαι τούτους.
ἡμάρτομεν οἱ τάλανες μετὰ τῶν γεννητόρων,
ἠνομηκότες ἄδικα πεπράχαμεν ἐν βίῳ.
οὔπω συνῆκαν οἱ γονεῖς τὰς ἐν Αἰγύπτῳ πράξεις,
οὐδὲ τοῦ πλήθους ἔλαβον τῶν οἰκτιρμῶν σου μνήμην,
ἀλλ’ ἔτι παρεπίκραναν ἐν ἐρυθρᾷ θαλάσσῃ.
τούτους δὲ πάλιν ἔσωσεν ἡ τοῦ δεσπότου κλῆσις,
ὥστε γνωρίσαι τὴν αὐτοῦ πρὸς πάντας δυνειστείαν,
εἶπε· καὶ γέγονε ξηρὸν τὸ τῆς θαλάσσης βάθος
καὶ τούτους καθωδήγησεν ὡς ἐν ἐρήμου τρίβῳ
καὶ σέσωκεν ἀπὸ χειρὸς μισοῦντος τοὺς ἰδίους
καὶ τῆς χειρὸς τῶν δυσμενῶν ἐρρύσατο τοὺς δούλους·
ὕδωρ τοὺς θλίβοντας αὐτοὺς ἐκάλυψεν ἀθρόους,
οὐχ ὑπελείφθη πεπλευκὼς εἷς ἐξ αὐτῶν οὐδόλως.
κἀντεῦθεν πεπιστεύκασι τῷ τοῦ δεσπότου λόγῳ
καὶ τὴν πρὸς τοῦτον αἴνεσιν εὐεπηβόλως ᾖσαν.
ἀλλ’ αὖθις ἐπελάθοντο τῶν φιλανθρωπευμάτων
καὶ τὴν τοῦ σώζοντος βουλὴν οὐκ εἶχον ὑπομεῖναι.
ἄλλη δὲ πάλιν ὄρεξις ἐκείνοις ἐν ἐρήμῳ
καὶ πάλιν ἐξεπείρασαν τὸν κτίστην ἐν ἀνύδρῳ.
καὶ δέδωκε τὴν αἴτησιν τοῖς ἐρασταῖς εὐθέως
καὶ πλησμονὴν ἀπέστειλεν εἰς τὰς αὐτῶν καρδίας,
πλὴν ἐν τῇ σφῶν παρεμβολῇ παρώργισαν Μωσέα,
τὸν Ἀαρὼν τὸν ἅγιον ὡσαύτως τοῦ κυρίου.
ἡ γῆ γοῦν ὑπορρήγνυται καὶ τὸν Δαθὰν λαμβάνει
τῆς Ἀβειρῶν συναγωγῆς καλύπτουσα τὰ στίφη, ‖133v
ἐν δὲ τοῖς πλήθεσιν αὐτῶν πῦρ ἐξεκαύθη βρέμον
καὶ φλὸξ κατέφλεξεν αὐτῶν τοὺς ἀγνωμονεστέρους.
καὶ μόσχον ἔσχον ἐν Χωρὴβ καὶ τὸ γλυπτὸν ἐτίμων
τὸ σέβας ἐξαμείψαντες εἰς χορτοφάγον ζῷον.
καὶ πάντες ἐπελάθοντο τοῦ σεσωκότος τούτους
καὶ τέρασι τὴν Αἴγυπτον ἐκπλήξαντος ἀρρήτοις,
τὴν γῆν δε Χὰμ τοῖς φοβεροῖς ἐπ’ ἐρυθροῦ πελάγους,

23 καὶ εἶπεν τοῦ ἐξολοθρεῦσαι αὐτούς,
εἰ μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ
ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ
τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ τοῦ μὴ ἐξολοθρεῦσαι.
24 καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν,
οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ·
25 καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν,
<καὶ> οὐκ εἰσήκουσαν τῆς φωνῆς κυρίου.
26 καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ ἐπ’ αὐτούς
τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ
27 καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσιν
καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις.
28 καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ
καὶ ἔφαγον θυσίας νεκρῶν·
29 καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν,
καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.
30 καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, / $^{2}$καὶ ἐκόπασεν ἡ θραῦσις·
31 καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην / $^{2}$εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.
32 καὶ παρώξυναν αὐτὸν ἐφ’ ὕδατος ἀντιλογίας.
καὶ ἐκακώθη Μωυσῆς δι’ αὐτούς,
33 ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ,
καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ.
34 οὐκ ἐξωλέθρευσαν τὰ ἔθνη, ἃ εἶπεν κύριος αὐτοῖς,
35 καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσιν / $^{2}$καὶ ἔμαθον τὰ ἔργα αὐτῶν·
36 καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν,
καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον·
37 καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν / $^{2}$καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις
38 καὶ ἐξέχεαν αἷμα ἀθῷον,
αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων,
ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν,
καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασιν
39 καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν,
καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

**105: 23.1 et 4** ἐξολοθρεῦσαι] *L′* (non T) : ἐξολεθρεῦσαι Rahlfs in utrisque locis **105: 23.4** τὸν θυμόν] *L′′* A′′ : τὴν ὀργήν S Sa R He *iram* La$^{G}$Aug Ga, ergo Rahlfs **105: 25.2** καί] add. *L*$^{pau}$ **105: 26.1** ἐπ’ αὐτούς] αὐτοῖς B La$^{G}$, ergo Rahlfs, sed ἐπ’ αὐτούς rel. codd. **105: 30.1–2** unus stichus Sa R′′ Ga 55 necnon 267 **105: 32.1** παρώξυναν] 1219 : παρώργισαν rel. codd. (etiam 267), ergo Rahlfs **105: 35.1–2** sic praebet 267 **105: 37.1–2** unus stichus S Sa TSyHe 1219’ necnon 267

ἐντεῦθεν καὶ τεθέσπικεν ἐξολοθρεῦσαι τούτους.
ἀλλὰ Μωσῆς ὁ παρ’ αὐτοῦ δοκιμασθεὶς ἐξόχως
ἔστη τὴν θραῦσιν ἐξαιτῶν πρόσθεν αὐτοῦ λυθῆναι
καὶ τὸν θυμὸν καταλιπεῖν καὶ τούτους μὴ συμφθεῖραι.
οἵδ’ ἐξουδένωσαν τὴν γῆν, ἧς ἐπεθύμουν πάλαι,
καὶ πίστιν οὐκ ἐλάμβανον, ὧν πρὸς αὐτοὺς ἐλάλει.
ἐν δὲ ταῖς σφῶν καταγωγαῖς ἐγόγγυσαν ἀφρόνως
καὶ τῆς φωνῆς τοῦ σώζοντος οὐκ ἤθελον ἀκοῦσαι·
ἦρε γοῦν χεῖρα κατ’ αὐτῶν ἀμυτικῆς ἰσχύος,
ὥστε κατὰ τὴν ἔρημον ἐκείνους ἀποκτεῖναι
καὶ τούτων ἐν τοῖς ἔθνεσι καταβαλεῖν τὸ σπέρμα,
σκορπίσαι δὲ καὶ τὰς φυλὰς τῶν δυσμενῶν ταῖς χώραις.
Βεελφεγώρ δε παρευθὺς ὑπῆρξαν τελεσθέντες
καὶ δεδειπνήκασι νεκρῶν θυσίας ἀποστρόφους·
καὶ τούτοις τοῖς ἐγκλήμασι παρώξυναν τὸν κτίστην
καὶ πάλιν γέγονεν αὐτοῖς εἰς πληθυσμὸν ἡ πτῶσις.
ἔστη δὲ ζήλῳ Φινεὲς καὶ λέλυκε τὴν θραῦσιν,
ἡ πρᾶξις δ’ ἔμμισθος αὐτῷ μέχρι παντὸς ἐκρίθη.
εἰς ὕδωρ δὲ παρώξυναν τοῦτον ἀντιλογίας,
ὁ δὲ Μωσῆς δυσαρεστῶν πρὸς τούτους ἐκακώθη,
τὸ τούτου γὰρ ἐφάνησαν λελυπηκότες πνεῦμα,
ἐντεῦθεν καὶ σεσίγηκε τὰ χείλη κατακλείσας.
ἅδ’ εἶπεν, ἔθνη πρὸς αὐτοὺς εἰς ὄλεθρον οὐκ ἦγον,
μιγέντες δὲ τοῖς ἔθνεσιν ἔμαθον σφῶν τὰς πράξεις
καὶ τοῖς γλυπτοῖς ἐδούλευσαν ἀφρόνως τῶν ἐκφύλων
καὶ γέγονεν εἰς σκάνδαλον ἐκείνοις ἡ θρησκεία·
ἔθυσαν δὲ τοῖς δαίμοσιν, οὓς ἔτεκον φιλτάτους,
αἷμα δ’ αἰσχύνης ἄγευστον ἐχεῖτο παραυτίκα,
τούτων σφαττόντων τοὺς υἱοὺς μετὰ τῶν θυγατέρων,
ὧν τοῖς γλυπτοῖς τοῦ Χαναὰν ἀπηυτομόλουν θύειν·
ἡ γῆ γοῦν ἐν τοῖς αἵμασι κατεφονοκτονήθη
καὶ ταῖς ἐκείνων πράξεσι πεπλήρωται τοῦ μίσους,
καὶ τοῖς ἐπιτηδεύμασιν ἐπόρνευσαν τῶν τρόπων.

40 καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ
καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ·
41 καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐθνῶν,
καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς·
42 καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν,
καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν.
43 πλεονάκις ἐρρύσατο αὐτούς,
αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν
καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.
44 καὶ εἶδεν <κύριος> ἐν τῷ θλίβεσθαι αὐτοὺς
ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν·
45 καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ
καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ
46 καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς
ἐναντίον πάντων τῶν αἰχμαλωτισάντων αὐτούς.
47 σῶσον ἡμᾶς, κύριε ὁ θεὸς ἡμῶν,
καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν
τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ,
τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου.
48 Εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ ¦
$^{1}$ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος.
καὶ ἐρεῖ πᾶς ὁ λαός Γένοιτο γένοιτο.

## CVI – Ἀλληλούια

Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός,
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ
2 εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου,
οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ.
3 ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς
ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης.
4 ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ,
ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον
5 πεινῶντες καὶ διψῶντες, / $^{2}$ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν·

---

**105: 41.1** ἐθνῶν] S’ R’’ Ga TTht$^{p}$’He, sed cfr. etiam ἐχθρῶν Sa *L*Tht$^{p}$ (etiam 267) A’’ (cfr. MPs.105.79) **105: 44.1** κύριος] add. Bo *L*’’ (etiam 267) A **105: 47.3** τῷ$^{1}$ … ἁγίῳ] sic praebent La$^{G}$ *L*’’ A : τῷ ὀνόματι τῷ ἁγίῳ σου S R$^{S}$’Aug Ga He 55, ergo Rahlfs **105: 48.1** unus stichus S La$^{R}$ (ergo Rahlfs), sed sic dividunt rel. codd. **106: 5.1–2** unus stichus Sa R′ THe 1219 necnon 267

ὠργίσθη δ’ οὖν ὁ συμπαθὴς ἐπὶ τὸν τούτου δῆμον
καὶ τοῦτον ἐβδελύξατο μετουπολὺ τὸν κλῆρον
καὶ τούτους παραδέδωκεν εἰς χεῖρας ἀλλοτρίων·
καὶ κατεκράτησαν αὐτῶν οἱ δυσμενεῖς ἐκ μίσους
καὶ θλίψεις ἐπεσώρευσαν τοῖς ταλαιπώροις τούτοις
καὶ γὰρ ἐταπεινώθησαν ὑπὸ τὰς τούτων χεῖρας.
πολλάκις τούτους τῶν πολλῶν ἐρρύσατο κινδύνων,
αὐτοί δε παρεπίκραναν τὸν εὐηργετηκότα
καὶ ταπεινοὶ γεγόνασιν ὡς πεπλημμεληκότες.
ἐν δὲ τῷ τούτους θλίβεσθαι κύριος εἶδε πάλιν
καὶ τῆς φωνῆς εἰσήκουσε τῆς τούτων ἱκεσίας
καὶ διαθήκης τῆς αὐτοῦ κατέστη μνημονεύσας
καὶ δὴ μεταμεμέληται τῶν οἰκτιρμῶν τῷ πλήθει
καὶ δέδωκεν εἰς οἰκτιρμοὺς τοὺς τῆς ὀργῆς ἀξίους,
ἔμπροσθεν πάντων τῶν αὐτοὺς ἀνδραποδισαμένων.
σῶσον ἡμᾶς, ὁ παντουργός, σῶσον ἡμᾶς, ὁ κτίσας
καὶ τὸν λαὸν ἐκ τῶν ἐθνῶν ἐπισυνάγαγέ σου,
ὡς ἐξομολογήσασθαι τῇ θαυμαστῇ σου κλήσει
καὶ ταῖς αἰνέσεσι ταῖς σαῖς ἐγκαυχωμένους χαίρειν.
εὐλογητὸς ὁ βραβευτὴς τῶν Ἰσραὴλ ταγμάτων ‖[134r]
μέχρις αἰῶνος παντελοῦς ἐκ τοῦ παντὸς αἰῶνος.
ἐρεῖ δε σύμπας ὁ λαὸς «γένοιτο γένοιτό σοι.»

### 106 – Ἀλληλούια

Ὑμνεῖτε τὸν φιλάνθρωπον, ὅτι χρηστὸς τὴν φύσιν,
ὅτι τὸν οἶκτον ἄπειρον εἰς τὸν αἰῶνα φέρει.
εἰπάτωσαν οἱ παρ’ αὐτοῦ λελυτρωμένοι τοῦτο,
οὓς ἐκ χειρὸς ἐρρύσατο μισούντων καὶ λυπούντων
ἐκ τῶν χωρῶν συναγαγὼν τοὺς διεσκορπισμένους
ἕωθεν μέχρι τῶν δυσμῶν βορρᾶ τε καὶ θαλάσσης.
εἰς πλῆθος δὲ γεγόνασιν ἐν τοῖς ἀνύδροις τόποις
καταγωγῆς δε πόλεως ὅλως ὁδὸν οὐχ εὗρον
καὶ παρευθὺς ἀπώλοντο πεινῶντες καὶ διψῶντες.

---

**106** V (ff. 134rv) L (ff. 237v–239v) D (ff. 221r–222r)

---

**106 tit.** ἐξομολουγεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθὸς ὅτι εἰς τόν add. LD **106.8** ὁδόν] οὐδὸν L

6 καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτοὺς
7 καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν
τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου.
8 ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
9 ὅτι ἐχόρτασεν ψυχὴν κενὴν
καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν.
10 καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου,
πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ,
11 ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ
καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν,
12 καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν,
ἠσθένησαν, καὶ οὐκ ἦν ὁ βοηθῶν·
13 καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτοὺς
14 καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου
καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν.
15 ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
16 ὅτι συνέτριψεν πύλας χαλκᾶς
καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν.
17 ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν,
διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν·
18 πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν,
καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου·
19 καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς,
20 ἀπέστειλεν τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτοὺς
καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.
21 ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων
22 καὶ θυσάτωσαν <αὐτῷ> θυσίαν αἰνέσεως
καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.
23 οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν ἐν πλοίοις

**106: 16.2** συνέθλασεν] *L*Tht$^{p}$ A’’ : συνέκλασεν S R, ergo Rahlfs **106: 17.1** αὐτῶν$^{1}$] fort. αὐτούς legit Philes, ut R, αὐτόν 168 (vid. apparatum H.–P.) necnon *eos* La Ga **106: 22.1** αὐτῷ] add. Bo *L*’’ (etiam 267) A′ 2029

ἀλλ’ ἔκραξαν πρὸς κύριον ἐν τῇδε τῇ κακώσει
καὶ τῶν τοσούτων ἀναγκῶν ἐβράβευσε τὴν λύσιν
καὶ τούτους καθωδήγησεν εἰς τρίβον σωτηρίας,
ἵνα τὴν πόλιν εὕρωσι τοῦ κατοικητηρίου.
ὑμνείτωσαν τὸν παντουργὸν τῶν οἰκτιρμῶν τὰ πλήθη
καὶ τούτου τὰ θαυμάσια τοῖς τέκνοις τῶν ἀνθρώπων,
ὅτι ψυχὴν ἐχόρτασε τῇ σπάνει κενωθεῖσαν,
βρωμάτων δὲ πεπλήρωκε λιμώττουσαν καρδίαν
καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους
καὶ στρεβλουμένους ἔσωθεν πτωχείᾳ καὶ σιδήρῳ.
πλὴν αὖθις παρεπίκραναν τοὺς λόγους τοῦ κυρίου
καὶ τὴν βουλὴν παρώξυναν τοῦ σεσωκότος τούτους,
ὃς τούτων ἐταπείνωσεν ἐν κόποις τὴν καρδίαν·
οὐκ ἦν δε τούτοις βοηθός, ὅτε πικρῶς ἐνόσουν.
καὶ πάλιν εἶδον πρὸς θεὸν ἐν τῷ καιρῷ τῆς λύπης
καὶ σέσωκε τῶν ἀναγκῶν ἐκείνους παραυτίκα
καὶ πάντας ἐλυτρώσατο τοῦ σκότους τοῦ θανάτου
καὶ τοὺς δεσμώτας ἔλυσε τῆς ἐνοχλούσης πέδης.
ὑμνείτωσαν τὸν παντουργὸν τῶν οἰκτιρμῶν τὰ πλήθη
καὶ τούτου τὰ θαυμάσια τοῖς τέκνοις τῶν ἀνθρώπων,
ὅτι συνέτριψε στερρὰς καὶ χαλκηλάτους πύλας
καὶ τοὺς μοχλοὺς τοὺς σιδηροῦς συνέθλασεν εὐτόνως.
ἐκ δὲ τῆς τρίβου τῶν κακῶν ἀνακαλεῖται τούτους,
καὶ γὰρ ἐταπεινώθησαν ὑπὸ τῆς ἀνομίας·
πᾶν βρῶμα τούτων ἡ ψυχὴ καθάπαξ ἀπεστράφη
κἀντεῦθεν προσεπέλασαν ταῖς πύλαις τοῦ θανάτου.
καὶ πάλιν πρὸς τὸν κύριον ἐκέκραξαν ἀλγοῦντες
καὶ τῶν τοσούτων ἔδειξε κρείσσονας τούτους πόνων
καὶ λόγῳ τούτων ζωτικῷ παρέλυσε τὰς νόσους
καὶ τῶν δεινῶν διαφορῶν τοὺς γογγυστὰς ἀφῆκε.
κροτείτωσαν τὸν παντουργὸν τῶν οἰκτιρμῶν τὰ πλήθη
καὶ τούτου τὰ θαυμάσια τοῖς τεκνοῖς τῶν ἀνθρώπων.
ὕμνου δὲ τούτῳ πρόσφορον θυσάτωσαν θυσίαν
καὶ κηρυξάτωσαν αὐτοῦ σκιρτῶντες τὰ πρακτέα·
καὶ γὰρ οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις

**106.19** ἔσωθεν ] ἔσωσε LD

ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς,
24 αὐτοὶ εἴδοσαν τὰ ἔργα κυρίου
καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ·
25 εἶπεν, καὶ ἔστη πνεῦμα καταιγίδος,
καὶ ὑψώθη τὰ κύματα αὐτῆς·
26 ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν
καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων,
ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο,
27 <καὶ> ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων,
καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη·
28 καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς,
καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτοὺς
29 καὶ ἐπέταξεν τῇ καταιγίδι, καὶ ἔστη εἰς αὖραν,
καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς·
30 καὶ εὐφράνθησαν, ὅτι ἡσύχασαν,
καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν.
31 ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ
καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
32 ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ
καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
33 ἔθετο ποταμοὺς εἰς ἔρημον
καὶ διεξόδους ὑδάτων εἰς δίψαν,
34 γῆν καρποφόρον εἰς ἅλμην
ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ.
35 ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων
καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων
36 καὶ κατῴκισεν ἐκεῖ πεινῶντας,
καὶ συνεστήσαντο πόλεις κατοικεσίας
37 καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας
καὶ ἐποίησαν καρπὸν γενήματος,
38 καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα,
καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν.
39 καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν / [2]ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης.
40 ἐξεχύθη ἐξουδένωσις ἐπ’ ἄρχοντας <αὐτῶν> ,
καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.

**106: 24.1** εἴδοσαν] S R He 55 : εἶδον *L*’’ A 2029 **106: 27.1** καί] add. R’’ Ga Tht$^{p}$’SHeS$^{c}$ **106: 36.2** πόλεις] Bo Sa *L*$^{pau}$ (etiam 267) : πόλιν S’ La$^{R}$Aug Ga, ergo Rahlfs **106: 39.1–2** unus stichus Sa R′ **106: 40.1** αὐτῶν] add. Bo *L*’’ (etiam 267) A′

καὶ τοῖς ἀπείροις ὕδασι ποιοῦντες ἐργασίαν
αὐτοὶ τεθεωρήκασι τὰς πράξεις τοῦ κυρίου
καὶ τούτου τὰ θαυμάσια τὰ τῷ βυθῷ δειχθέντα·
εἰπόντος, ἔστη παρευθὺς πνεῦμα τι καταιγίδος
καὶ τῆς θαλάσσης τῆς μακρᾶς ἡ πρόσχυσις ὑψώθη,
μέχρις αὐτῶν τῶν οὐρανῶν τὰ κύματα φοιτῶσι
καὶ πάλιν καταβαίνουσιν ἄχρις αὐτῶν ἀβύσσων.
τῶν δὲ πλωτήρων ἡ ψυχὴ κατέπτησε τῷ δέει
καὶ πάντες ἐταράχθησαν ὡς μέθῃ σαλευθέντες
καὶ πᾶσα τούτων ἡ δεινὴ σοφία κατεπόθη.
καὶ πάλιν πρὸς τὸν σῴζοντα κεκράγασιν ἐκ πόνων
καὶ παρευθὺς τῶν ἀναγκῶν ἐξήγαγεν ἐκείνους·
ἔστη γὰρ τούτου νεύσαντος ἡ καταιγὶς εἰς αὖραν
καὶ τῶν κυμάτων ὁ βρασμὸς ἐσίγησεν εὐθέως, ‖[134v]
οἱ δὲ πλωτῆρες ἥσθησαν ἡσυχασάντων τούτων,
οὓς τοῦ θελήματος αὐτοῦ προσῆξε τῷ λιμένι.
κροτείτωσαν τὸν παντουργὸν τῶν οἰκτιρμῶν τὰ πλήθη
καὶ τούτου τὰ θαυμάσια τοῖς τέκνοις τῶν ἀνθρώπων.
καὶ τοῦτον ὑψωσάτωσαν ἐν ἐκκλησίαις δήμων
καὶ πάλιν αἰνεσάτωσαν ἐν πρεσβυτέρων θάκῳ.
ἀνῆκε γὰρ τοὺς ποταμοὺς εἰς ἔρημον διψῶσαν,
εἰς δ’ ἀνομβρίαν αὐχμηρὰν ὑδάτων διεξόδους,
γῆν δε κομῶσαν τοῖς καρποῖς ἐξέτρεψεν εἰς ἅλμην,
ἀπὸ κακίας τῶν αὐτῶν οἰκούντων παρανόμων.
ἔθετο πάλιν ἔρημον εἰς ὕδατα λιμναῖα
καὶ ταῖς ἀνύδροις ἔδωκεν ὑδάτων διεξόδους
καὶ τοὺς πεινῶντας ἀγαγὼν κατῴκισεν ἐκεῖσε.
αὐτοί δε συνεστήσαντο κατοικεσίας πόλεις
ἀγρούς δε καταπείραντες ἐφύτευσαν ἀμπέλους
καὶ τὰς γενέσεις τῶν καρπῶν συνέλεξαν ἀφθόνως
εὐλογηθέντες δ’ ἄνωθεν ἐπέδωκαν εἰς πλῆθος·
οὐ γὰρ ἐσμίκρυνεν αὐτῶν ὁ παντουργὸς τὰ κτήνη.
καὶ πάλιν ὠλιγώθησαν ἐν θλίψει κατωδύνῳ
καὶ πάλιν ἐξουδένωσις ἐπὶ τοὺς σφῶν ὀλβίους,
ἐν οὐχ ὁδῷ δ᾽ ἐπλάνησεν αὐτούς, ἀλλ’ ἐν ἀβάτῳ,

41 καὶ ἐβοήθησεν πένητι ἐκ πτωχείας
καὶ ἔθετο ὡς πρόβατα πατριάς.
42 ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται,
καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.
43 τίς σοφὸς καὶ φυλάξει ταῦτα
καὶ συνήσουσιν τὰ ἐλέη τοῦ κυρίου;

**CVII – Ὠιδὴ ψαλμοῦ τῷ Δαυίδ**

2 Ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου,
ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
3 [1a]<ἐξεγέρθητι ἡ δόξα μου>
[1b]ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα·
ἐξεγερθήσομαι ὄρθρου. /4 ἐξομολογήσομαί σοι ἐν λαοῖς, κύριε,
[2]καὶ ψαλῶ σοι ἐν ἔθνεσιν,
5 ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου
καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.
6 ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ θεός,
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.
7 ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου,
σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου.
8 ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ
Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω·
9 ἐμός ἐστιν Γαλαάδ, καὶ ἐμός ἐστιν Μανασσής,
καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου,
Ἰούδας βασιλεύς μου· /10 Μωὰβ λέβης τῆς ἐλπίδος μου,
[2]ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, / [3]ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.
11 τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;
<ἢ> τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;
12 οὐχὶ σύ, ὁ θεός, ὁ ἀπωσάμενος ἡμᾶς;
καὶ οὐκ ἐξελεύσῃ, ὁ θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν.
13 δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·

**107: 3.1a** praebent Bo Vulg. *L*’’ (etiam 267) Su 1219’ **107: 3.3–4.1** unus stichus Sa **107: 9.1** Μανασσής] R′ Vulg *L*′ A’’ : Μανασσή S’ Sa La[G] Ga **107: 9.2** ἀντίληψις] H.–P. necnon 267 : ἀντίλημψις Rahlfs **107: 9.3–10.1** unus stichus R′ Sy necnon 267 **107: 10.2–3** sic praebet 267 **107: 10.2** ἐπιβαλῶ] *L*′ (etiam 267) A, *immittam* La[G] : ἐκτενῶ S’ 2017 R′ Ga *L*[pau]’He 1219’, ergo Rahlfs **107: 11.2** ἢ] Bo Sa R *L*′Sy[mg] (etiam 267) A’’

ἐκ δὲ πτωχείας πένητι γέγονεν ἀντιλήπτωρ,
ἔθετο δὲ τὰς πατριὰς ὡς πρόβατα ποιμνίων.
εὐθεῖς ἰδόντες καὶ χρηστοὶ χαιρήσουσι ἐκτόπως,
πάσῃ δὲ πράξει πονηρᾷ φραγήσεται τὸ στόμα.
τίς οὕτω μέγας καὶ σοφὸς ὥστε φυλάξαι ταῦτα;
συνήσουσι δὲ πῶς τινες τὸν οἶκτον τοῦ δεσπότου;

### 107 – Ὠιδὴ ψαλμοῦ τῷ Δαυίδ

Ἑτοίμην ἔχω τὴν ψυχήν, ἑτοίμην τὴν καρδίαν,
ᾄσομαι δῆτα καὶ ψαλῶ τῇ δόξῃ μου παντάναξ.
ἐγέρθητι καὶ φάνηθι τὸ κυρωθέν μοι κλέος,
ἐγέρθητι ψαλτήριον, ἐγέρθητι κιθάρα.
ὀρθρίσας ἐγερθήσομαι καὶ μέλψω σε τοῖς δήμοις,
ψαλῶ σου δὲ τοῖς ἔθνεσι τὰ ξένα μεγαλεῖα·
ἐπάνω γὰρ τῶν οὐρανῶν τὸν οἰκτιρμὸν ἐκτήσω,
τὸ δ’ ἀληθὲς ἐξέτεινας ἄχρι νεφῶν ὑψώσας.
ἐπ’ οὐρανοὺς ὑψώθητι τοὺς οὐρανοὺς ὁ κτίσας,
ἐπὶ δὲ πᾶσαν σου τὴν γῆν ἡ δόξα, παντοκράτορ.
ὡς ἂν τοὺς σοὺς ἀγαπητοὺς τῶν δυσχερῶν ἐξέλῃς,
τῇ δεξιᾷ σου σῶσον με, θᾶττον ἐπάκουσόν μου.
λελάληκεν ὁ κύριος τῷ καθ’ αὑτὸν ἁγίῳ·
«πρὸς ὕψος ἀναβήσομαι καὶ μεριῶ τοὺς κλήρους
καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω πᾶσαν.
ἐμός ἐστιν ὁ Γαλαὰδ καὶ Μανασσῆς οὐ ξένος,
ἐμοῦ δ’ Ἐφραὶμ τῆς κεφαλῆς ἀντίληψις ἐκρίθη,
Ἰούδας δέ μοι βασιλεύς, λέβης Μωὰβ ἐλπίδος,
ἐμοί δε σμῆνος δυσμενῶν ἐκφύλων ὑπετάγη.»
πλὴν ἀλλὰ τίς ἀπάξει με περιοχῆς εἰς πόλιν;
ἔσται δὲ τίς μοι ποδηγὸς ἕως τῆς Ἰδουμαίας;
οὐχὶ σὺ πάντως ὁ θεός, ὅστις ἡμᾶς ἀπώσω
κἀν ταῖς δυνάμεσιν ἡμῶν οὐκ ἐξελεύσῃ πάλιν;
δὸς οὖν βοήθειαν ἡμῖν, δὸς τῶν θλιβόντων λύσιν·

**107** V (f. 134v) L (ff. 239v–240r) D (f. 222r)

**107 tit.** ψαλμὸς τῷ Δαυίδ· ἑτοίμη ἡ καρδία μου ὁ θεός, ἑτοίμη ἡ LD

καὶ ματαία σωτηρία ἀνθρώπου.
14 ἐν τῷ θεῷ ποιήσομεν δύναμιν,
καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

**CVIII – Εἰς τὸ τέλος· τῷ Δαυὶδ ψαλμός**

Ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς,
2 ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη,
ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολίᾳ
3 καὶ λόγοις μίσους ἐκύκλωσάν με / ²καὶ ἐπολέμησάν με δωρεάν.
4 ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, / ²ἐγὼ δὲ προσευχόμην·
5 καὶ ἔθεντο κατ᾽ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν
καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.
6 κατάστησον ἐπ᾽ αὐτὸν ἁμαρτωλόν,
καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ·
7 ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος,
καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν.
8 γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι,
καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος·
9 γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ / ²καὶ ἡ γυνὴ αὐτοῦ χήρα·
10 σαλευόμενοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ καὶ ἐπαιτησάτωσαν,
ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.
11 ἐξερευνησάτω δανειστὴς πάντα, ὅσα ὑπάρχει αὐτῷ,
διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτῶν·
12 μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ,
μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ·
13 γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν,
ἐν γενεᾷ μιᾷ ἐξαλειφθήτω τὸ ὄνομα αὐτοῦ.
14 ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι κυρίου,
καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη·
15 γενηθήτωσαν ἔναντι κυρίου διὰ παντός,
καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν,
16 ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος

**108: 3.1–2** sic praebet 267 **108: 4.1–2** unus stichus THe **108: 9.1–2** unus stichus 55 necnon 267 **108: 11.2** αὐτῶν ] $L^b$ : αὐτοῦ Rahlfs necnon 267 **108: 12.1** ἀντιλήπτωρ ] H.–P. necnon 267 : ἀντιλήμπτωρ Rahlfs **108: 13.1** ἐξολόθρευσιν ] *L′* (etiam 267) : ἐξολέθρευσιν Rahlfs **108: 15.2** ἐξολοθρευθείη ] *L* (etiam 267, non T) : ἐξολεθρευθείη Rahlfs

ἅπασα γὰρ ἀνόνητος ἀνθρώπου σωτηρία.
ἐν τῷ θεῷ κτησώμεθα τὸ κατὰ πάντων κράτος,
ὡς ἂν τοὺς θλίβοντας ἡμᾶς ἐξουδενώσῃ μόνος.

**108 – Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ**

Τὴν αἴνεσίν μου, δέσποτα, μὴ παρασιωπήσῃς·
ἠνοίχθη γάρ τι πονηρὸν ἁμαρτωλοῦ μοι στόμα,
ἐλάλησαν δὲ κατ’ ἐμοῦ γλώσσῃ τινὶ δολίᾳ
καὶ προῖκα παρελύπουν με λόγοις κυκλοῦντες μίσους. ‖135r
κἀκεῖνοι με διέβαλλον, ἐγώ δε προσηυχόμην,
ἀντὶ τοσούτων δε καλῶν διέθεντο κακά μοι
καὶ μῖσος ἀντεπήνεγκαν τῆς ἀγαπήσεώς μου.
«κατάστησον ἁμαρτωλὸν κακοῦργον ἐπὶ τοῦτον
καὶ στήτω τις ἐκ δεξιῶν τοῦδε Σατὰν συντρίβων.
ἐξέλθοι δὲ κρινόμενος καταδεδικασμένος,
ἡ προσευχή δε γένοιτο πρὸς τοῦτον ἁμαρτία.
ὀλίγαι δ’ ὑπαρξάτωσαν αἱ κατ’ αὐτὸν ἡμέραι
καὶ τὴν εἰς τοῦτον ἕτερος ἐπισκοπὴν λαμβάνοι.
σχοίη τοὺς παῖδας ὀρφανοὺς καὶ τὴν γυναῖκα χήραν.
μεταβαινέτωσαν οἰκτρῶς οἱ παῖδες προσαιτοῦντες
καὶ πάντες ἐκβληθήτωσαν τῶν οἰκοπέδων τούτων.
ἐρευνησάτω δανειστὴς τὴν ὑπ’ αὐτὸ οὐσίαν,
κτησάσθωσαν ἀλλότριοι πάντας αὐτῶν τοὺς πόνους.
μὴ δ’ ἀντιλήπτωρ τις ἀυτῷ μηδόλως ὑπαρξάτω,
οἰκτίρμων δὲ τοῖς ὀρφανοῖς μὴ γενηθήτω τούτου.
εἰς ἐξολόθρευσιν αὐτοῦ τὰ τέκνα γενηθήτω,
ἐν γενεᾷ τινι μιᾷ κλῆσις αὐτοῦ μηκέτι.
τῶν γεννητόρων τὰ κακὰ πρὸς τοῦ θεοῦ μνησθείη,
ἡ δ’ ἁμαρτία τῆς μητρὸς ἐκ τούτου μὴ λυθείη.
ὑπεναντίως ἔχοντες πρὸς τὸν θεὸν ὀφθεῖεν
καὶ τούτου τὸ μνημόσυνον ἐκ γῆς ὀλοθρευθείη
ἀνθ’ ὧν ἐργάσασθαι καλὸν οὐδόλως ἠβουλήθη,

**108** V (ff. 134v–135r) L (ff. 240r–241v) D (ff. 222r–222v)

**108 tit.** ἀλληλούια· ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς LD

καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν
καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.
17 καὶ ἠγάπησεν κατάραν, καὶ ἥξει αὐτῷ·
καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ’ αὐτοῦ.
18 καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον,
καὶ εἰσῆλθεν ὡς ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ
καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ·
19 γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, /[2]καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται.
20 τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ κυρίου
καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.
21 καὶ σύ, κύριε κύριε, ποίησον μετ’ ἐμοῦ ἔλεος ¦
[1]ἕνεκεν τοῦ ὀνόματός σου, / [2]ὅτι χρηστὸν τὸ ἔλεός σου.
22 ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης ἐγώ εἰμι,
καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.
23 ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην,
ἐξετινάχθην ὡσεὶ ἀκρίδες
24 τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας,
καὶ ἡ σάρξ μου ἠλλοιώθη δι’ ἔλαιον.
25 καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς·
εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν.
26 βοήθησόν μοι, κύριε ὁ θεός μου, / [2]σῶσόν με κατὰ τὸ ἔλεός σου,
27 καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη
καὶ σύ, κύριε, ἐποίησας αὐτήν.
28 καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις·
οἱ ἐπανιστανόμενοί μοι αἰσχυνθήτωσαν,
ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
29 ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν
καὶ περιβαλέσθωσαν ὡσεὶ διπλοΐδα αἰσχύνην αὐτῶν.
30 ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου
καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν,
31 ὅτι παρέστη ἐκ δεξιῶν πένητος
τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

**108: 21.1–2** unus stichus 267

πτωχόν δε κατεδίωξε καὶ πένητα μισήσας
καὶ θανατοῦν ἐσπούδασε τὸν κατανενυγμένον.
κατάραν ἐπεπόθησεν, ἥξει λοιπὸν εἰς τοῦτον,
οὐδὲ τεθέληκεν εὐχὴν καὶ μακρυνθήτω τούτου.
κατάραν ἐνεδύσατο περιβολαίου τρόπον,
ὡς ὕδωρ δὲ τοῦ τληπαθοῦς εἰσῆλθε τοῖς ἐγκάτοις,
ἐλαίου δίκην δέ τινος ἐν τοῖς ὀστέοις τούτου.
γενέσθω τούτῳ καὶ χιτὼν ἄχρι παντὸς καὶ ζώνη.»
ταῦτα φασὶ πρὸς τὸν θεὸν οἱ διαβάλλοντές με
καὶ κατ’ αὐτῆς μου τῆς ψυχῆς τὰ πονηρὰ λαλοῦντες.
σὺ δέ τι πρᾶξον μετ’ ἐμοῦ, κύριε, κύριέ μου,
χάριν τῆς κλήσεως τῆς σῆς ὅτι χρηστὸς τυγχάνεις.
πτωχός εἰμι, καὶ ῥῦσαι με· πένης, καὶ λύτρωσαί με·
ἐντός μου γὰρ τετάρακται πενθοῦντος ἡ καρδία.
σκιᾶς δε τρόπον ἀπαγοῦς ἐκκλίνας ἀπεκρύβην,
τὰ γόνατά μοι πέπονθεν ἐκτιναγμὸν ἀκρίδων,
ἐξίτηλα γὰρ γέγονεν ὑπὸ τῆς ἀσιτίας,
ἡ σάρξ μου δὲ δι’ ἔλαιον ὑπῆρξεν ἀμειφθεῖσα.
ἐγώ δ’ εἰς ὄνειδος αὐτοῖς ὁ τλήμων ἐγενήθην,
ἐσάλευσαν ἰδόντες με τὰς κεφαλὰς ἀθρόοι.
βοήθησόν μοι, κύριε, κατὰ τοὺς οἰκτιρμούς σου
καὶ γνώτωσάν σου τῆς χειρὸς τῆς ὑψηλῆς τὸ κράτος
καὶ σὺ μετὰ χρηστότητος ταύτην ἡμῖν εἰργάσω.
αὐτοὶ μὲν καταράσονται, σύ δ’ εὐλογήσεις μᾶλλον.
οἱ κατ’ ἐμοῦ κινούμενοι λαβέτωσαν αἰσχύνην,
ὁ σός δε δοῦλος εὐφρανθεὶς ὑμνήσει σου τὸ κράτος.
φορείτωσαν τὴν ἐντροπὴν οἱ διαβάλλοντές με
καὶ συμπεριβαλέσθωσαν ὡς χλαῖναν τὴν αἰσχύνην.
ὑμνήσω τὸν φιλάνθρωπον σφόδρα τῷ στόματί μου,
πολλῶν δε τοῦτον μεταξὺ τὸν παντουργὸν ὑμνήσω·
παρέστη γὰρ ἐκ δεξιῶν πένητος λυπουμένου,
ἵνα μου σώσῃ τὴν ψυχὴν τῶν καταδιωκόντων.

Δόξα. Κάθισμα ιε΄

**108.49** καί … κράτος] καὶ γνώτωσαν τὴν χεῖρα σου τὴν πάντα δυναμένην in textu, deinde σου s.l. add. et in marg. γρ. τῆς χειρὸς τῆς ὑψηλῆς τὸ κράτος corr. V, sed post corr. accentus enclisis supra γνώτωσαν scripte non additus est lapsus causa : γνώτωσάν σου τῆς χειρὸς τῆς ὑψηλῆς τὸ κράτος in textu et in marg. τὴν χεῖρα σου τὴν πάντα δυναμένην LD

## CIX – Ψαλμὸς τῷ Δαυίδ

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου,
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
2 ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ Σιών,
καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.
3 μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου
ἐν ταῖς λαμπρότησιν τῶν ἁγίων <σου>·
ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.
4 ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται
Σὺ [εἶ] ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
5 κύριος ἐκ δεξιῶν σου συνέθλασεν ¦
[1]ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς·
6 κρινεῖ ἐν τοῖς ἔθνεσιν, πληρώσει πτώματα,
συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν.
7 ἐκ χειμάρρου ἐν ὁδῷ πίεται·
διὰ τοῦτο ὑψώσει κεφαλήν.

## CX – Ἀλληλούια

Ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου
ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. /2 μεγάλα τὰ ἔργα κυρίου,
ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ·
3 ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ,
καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
4 μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ,
ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος·
5 τροφὴν ἔδωκεν τοῖς φοβουμένοις αὐτόν,
μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ.
6 ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλεν τῷ λαῷ αὐτοῦ
τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν.
7 ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις·

**109 tit.** sic praebent $La^{G}$ Ga $L^{d(sil)}$’He (etiam 267) 55 **109: 2.1** ἐξαποστελεῖ σοι] *L′* (etiam 267) : ἐξαποστελεῖ σε Sa, σοι ἐξαποστελεῖ Sy : σου ἐξαποστελεῖ Bo R’’ GaHi, ergo Rahlfs **109: 3.2** σου] add. *L′* (etiam 267) A **109: 4.2** εἶ] om. *L′* (etiam 267) A’ **109: 5.1** duo stichi $La^{G}$ $Ga^{c}$ SyHe 55 sed συνέθλασεν ad 5.2 trahunt **110: 1.2–2.1** unus stichus S TSyHe A’’ necnon 267 **110: 1.2** εὐθέων] *L′* (etiam 267) : εὐθείων Rahlfs

## 109 – Ψαλμὸς τῷ Δαυίδ

Εἶπε κυρίῳ κύριος· «ἐκ δεξιῶν μου κάθου,
ἕως ἂν θῶ σου τοὺς ἐχθροὺς βάσιν τῶν σῶν πελμάτων.
ἐκ τῆς Σιὼν ἀποστελεῖ τὴν ῥάβδον σοι τοῦ κράτους
καὶ σὺ κατακυρίευσον ἐν μέσῳ τῶν ἐχθρῶν σου· ‖[135v]
καὶ γὰρ τὸ κράτος μετὰ σοῦ τῷ τῆς ἰσχύος χρόνῳ,
ἐν ταῖς λαμπρότησι τῶν σῶν περιφανῶν ἁγίων.
ἐγέννησά σε τὸν υἱὸν γαστρόθεν πρὸ φωσφόρου.»
ὤμοσε κύριος αὐτὸς ἅπερ οὐκ ἀθετήσει.
σὺ θύτης μέχρι τοῦ παντὸς Μελχισεδὲκ τὴν τάξιν,
ἐκ δεξιῶν σου βασιλεῖς συνέθλασεν ὁ κτίστης,
ὅτε κατέστησεν ὀργῆς ἡμέραν τοῖς ἀνόμοις,
τότε κρινεῖ τοῖς ἔθνεσι καὶ πτώματα πληρώσει,
πολλῶν συνθλάσει κεφαλὰς ἐπὶ τῆς γῆς ἀδίκων.
ἐν δὲ τῇ τρίβῳ πίεται χειμάρρου πολυρρύτου
καὶ διατοῦτο κεφαλὴν ὑψώσει παραχρῆμα.

## 110 – Ἀλληλούια

Ἐν ὅλῃ σε τὸν κύριον δοξάσω μου καρδίᾳ,
ἐν τῇ βουλῇ τῶν ἀγαθῶν μέγας θεὸς τοῖς ἔργοις,
τοῖς κατ’ αὐτὸν θελήμασιν ὡς ἐξεζητημένοις.
ἡ τούτου πρᾶξις ἔπαινος ἐν μεγαλοπρεπείᾳ,
ἡ θέμις δὲ διηνεκής· οὐδὲ γὰρ ἔχει πέρας.
ἀνάμνησιν τῶν καθ’ αὐτὸν εἰργάσατο θαυμάτων,
οἰκτίρμων καὶ φιλάνθρωπος ὁ περὶ πάντας πρᾶος,
ὃς ἐχορήγησε τροφὴν τοῖς τοῦτον φοβουμένοις,
μέχρι παντὸς τὴν ἑαυτοῦ φυλάξει διαθήκην.
ἰσχὺν τῶν ἔργων τῶν αὐτοῦ λελάληκε τῷ δήμῳ,
ὥστε καὶ κλῆρον ἐθνικὸν τούτοις εὐσπλάχνως δοῦναι.
ἔργα χειρῶν τῶν κατ’ αὐτὸν ἀλήθεια καὶ κρίσις,

---

**109** V (ff. 134v–135r) L (ff. 240r–241v) D (ff. 222r–222v) **110** V (f. 135v) L (ff. 241v–242r) D (ff. 222v–223r)

---

**109 tit.** ἀλληλούια· ὁ θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς LD **110 tit.** ἀλληλούια, ψαλμὸς ρι΄· ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου ἐν βουλῇ LD

πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ,
8 ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι.
9 λύτρωσιν ἀπέστειλεν τῷ λαῷ αὐτοῦ,
ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ·
ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ.
10 ἀρχὴ σοφίας φόβος κυρίου,
σύνεσις <δὲ> ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν.
ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

## CXI – Ἀλληλούια

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον,
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα·
2 δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ,
γενεὰ εὐθέων εὐλογηθήσεται·
3 δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ,
καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
4 ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν
ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.
5 χρηστὸς ἀνὴρ ὁ οἰκτίρων καὶ κιχρῶν,
οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει·
6 ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται,
εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.
7 ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται·
ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον.
8 ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ,
ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ
9 ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν·
ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,
τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
10 ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται,
τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται·

**110: 10.2** δέ] add. Bo[p] Sa *L''* A''  **111: 2.2** εὐθέων] *L'* (etiam 267, non THe) 1219 : εὐθείων Rahlfs

πισταί δε καθεστήκασι αἱ τούτου παραινέσεις·
ἐστηριγμέναι γάρ εἰσιν εἰς πάντας τοὺς αἰῶνας,
εὐθύτης δὲ πεποίηκε ταύτας μετ’ ἀληθείας.
λύτρωσιν ἔπεμψεν αὐτοῦ τῷ ποθουμένῳ κλήρῳ
καὶ τούτῳ τὴν αἰώνιον ἀφῆκε διαθήκην.
ἡ κλῆσις τούτου φοβερὰ καὶ καθηγιασμένη.
ἀρχὴ σοφίας ἀληθοῦς ὁ φόβος τοῦ κυρίου,
χρηστή δε σύνεσις αὐτοῖς τοῖς πρακτικοῖς τὸν βίον.
